builds the Hexamilion, and thereby causes much sorrow to the Greeks,

especially to Corinth, which was destroyed by the Turks when they took the Hexamilion.

Patras also suffered from the Turks.

54. ἐχαλάσασιν—ἐκλαίγαν.—57. ὅλα.—62. ὁποὔποικες.—64. Μυζηθρᾶν would be the better spelling: see L. Ross, 'Griechische Königsreisen,' 2, p. 203, note 4.—66. ἦσθαι.—69. Kor. p. 150, writes ὅλος.—73, 4. Kor. p. 147. Ell. and Kor. have here ἦν instead of εἶν'.—80. Duc. p. 323.—82. κεφαλαί.

αὐτὴν τὴν Πάτραν τὴν πτωχὴν εἶχες παρηγοριάν σου,
πούγκιν σου καὶ σακκούλιν σου εἰς ὅλαις ταῖς δουλείαις,
εἰς ὅλαις σου ταῖς ὄρεξες κ' εἰς τὰ θελήματά σου·
καὶ ἀπ' ἀρχῆς σου ἔδειξεν ὅλον τὸ ῥιζικόν σου·
κακά σου ἐτελειώθηκαν ἐμπρὸς τῶν ὀμματιῶν σου.
ὦ βασιλεῦ παμφρόνιμε, κακὸν ῥιζικὸν ὁποῦ 'χες·
νά 'χεν ἀστράψην οὐρανὸς, νά 'χε καῆν ἡ ὥρα,
The unfortunate death of the Emperor Kaloioannes, *τότες ὅταν ἀπέθανεν ὁ ἅγιος ἀδελφός σου,*
ὁ βασιλεὺς ὁ φρόνιμος, σοφὸς ὁ Καλοϊωάννης,
ἡ ῥίζα τῶν φρονήσεων, ἡ δόξα τῶν 'Ρωμαίων,
κλέος καὶ κάλλος καὶ τιμὴ, δεύτερος Πτολεμαῖος,
τῆς ὀρθοδόξου πίστεως σπαθὶν ἀκονισμένον,
ῥίζα καὶ φῶς τῶν εὐσεβῶν, Χριστιανῶν 'Ρωμαίων.
ὦ Καλοϊωάννη βασιλεῦ, πολλὰ κακὸν τὸ 'ποῖκες,
and the subsequent coronation of Constantine. *τότες ὅταν ἀπέθανες ἐκείνην τὴν ἡμέραν·*
ἡ ὥρα τοῦ θανάτου σου ἦτον ὁ χαλασμός μας,
τῆς πόλης τὰ θεμέλια τότ' ἐξεριζωθῆκαν.
ὦ Κωνσταντῖνε βασιλεῦ, τίς σου ἡ δόλια τύχη!
ἐσέναν ἐθελήσασιν νὰ στέψουν βασιλέα·
νά 'χε χαθῆν ὁ ἥλιος, τ' ἄστρη καὶ τὸ φεγγάρι,
ὅταν ἐσὺ βουλήθηκες νὰ 'βγῇς ἐκ τὸν Μωρέαν
'ς τὴν πόλιν, νὰ σὲ στέψουσιν βασιλέα 'Ρωμαίων
εἰς τὴν Κωνσταντινούπολιν, τὴν θλιβερὴν τὴν πόλιν,
διὰ τὴν τύχην τὴν κακὴν, ἣν εἶχες εἰς τὸν κόσμον.
ὦ Κωνσταντῖνε βασιλεῦ, πολὺ κακὸν τὸ 'ποῖκες,
ὅταν ἐσὺ βουλήθηκες νὰ γένῃς βασιλέας·
νά 'χεν ἀστράψῃ ὁ οὐρανὸς, νά 'χε καγῇ ἡ ὥρα,
ὅταν ἐδόθην ἡ βουλὴ 'ς τῆς πόλης τὸ παλάτι,
καὶ βασιλέαν σ' ἔστεψαν εἰς τὴν ἁγιὰν Σοφίαν.
νά 'χεν ἀστράψῃ ὁ οὐρανὸς, νά 'χε καγῇ ἡ ὥρα·
ἥλιος, σελήνη μηδαμοῦ νὰ μ' εἶχαν ἀνατείλῃ,
καὶ τέτοια ἡμέρα μελανὴ νὰ μὴ εἶχε ξημερώσῃ,
εἰς τοῦ μαΐου τοῦ μηνὸς 'ς τὰς εἴκοσι ἐννέα,
τρίτην ἡμέραν δολερὴν ποῦ αὐθέντευεν ὁ Ἄρης.
ἐκείνη ἡ ὥρα ἡ βαρειὰ, ἡ στιγμὴ τοῦ πλανήτου,

89. *πούγκιν* and *σακκούλι* Ell. Duc. p. 1211 has *σακούλιν*.—90. *ὄρεξαις*.—91. Duc. p. 1297.—92. *ἐτελειώθηκεν*.—107. *νάχεν χαθῆ* Ellissen, but Duc. p. 1669 has *νάχε χαθῆν*.—*τ' ἄστρη* Duc. *τ' ἄστρα* Ell.—109. *'Ρωμαίων βασιλέα* would be better for metrical reasons.

ἡ φύσκωσις Ἀνατολῆς ἐπήρασι τὴν πόλιν,
οἱ Τοῦρκοι σκύλοι ἀσεβεῖς· ὦ συμφορὰ μεγάλη.
ὅποιος ἔνε Χριστιανὸς, τὴν πόλιν ἂς τὴν κλαύσῃ.
λέγουν "οἱ Τοῦρκοι ἐσέβησαν εἰς τὴν ἁγίαν πόλιν,
καὶ τρέχουν καὶ κουρσεύουν την πεζοὶ καὶ καβαλλάροι,
τὴν πόλιν τὴν θεόκτιστον, καὶ τίς νὰ τὸ πιστεύσῃ;
ἐγὼ ἀπιστῶ το, φίλε μου, τὸ δολερὸν μανδάτον."
ἔνι τοῦ κόσμου χαλασμὸς καὶ συντελειὰ μεγάλη,
συντελεσμὸς τῶν Χριστιανῶν τῶν ταπεινῶν Ῥωμαίων·
ὅμως ἂς τὸ θλιβοῦν πολλὰ καὶ τὰ γένη Λατίνων
διὰ τοῦτο ποῦ συνέβηκεν βασιλείαν Ῥωμαίων,
διατ' ἦτον σπήτιον ὁλωνῶν, Ῥωμαίων καὶ Λατίνων,
ἡ πόλις ἡ κακότυχος κι ὁ βασιλεὺς ὁμάδιν.
ποῦ 'νε λοιπὸν τὰ λείψανα, ποῦ αἱ ἁγιαὶ εἰκόνες;
ἡ ὁδηγήτρια ἡ κυρὰ, ἡ δέσποινα τοῦ κόσμου;
λέγουσιν, ἀναλήφθησαν 'ς τὸν οὐρανὸν ἀπάνω
τὰ λείψανα τὰ ἅγια καὶ τοῦ Χριστοῦ τὰ πάθη,
οἱ ἄγγελοι τὰ πήρασιν ἐμπρὸς εἰς τὸν δεσπότην.
καὶ τοῦτο ἔνι ἀληθινὸν, ὡς δοῦλοι τοῦ δεσπότου
εἰκόνες τε καὶ λείψανα ὅλα ἀναληφθῆκαν
εἰς οὐρανοὺς εἰς τὸν Χριστὸν, τὸν κύριον τῆς δόξης.
ποῦ εἶν' τὰ μοναστήρια, ποῦ ἡ ὀρθοδοξία;
ἀφῆκες, ἐξαπόλυκες, πανύμνητε, τὸν κόσμον;
οἱ ὕμνοι ποῦ 'ναι τὸ λοιπὸν καὶ ποῦ αἱ ψαλμῳδίαι;
καὶ ποῦ εἶν' οἱ δομέστικοι, ἡ μελῳδιὰ ἀγγέλων,
ὁ ὕμνος τῆς ἁγιᾶς Σοφιᾶς, αἱ μυρωδιαὶ, θυσίαις;
τί ἐγίνετο ἡ ψαλτικὴ, αἱ καλαῖς προσῳδίαις;
ποῦ ἔνεν οἱ φιλόσοφοι ῥητορικοὶ Ῥωμαῖοι;
ποῦ αἱ νηστειαῖς Ῥωμαίων τέ, παπάδων, ἡγουμένων,
νέων, γερόντων ἀληθῶς, ὁμοῦ δὲ καὶ Λατίνων;
τὰ τρίμερα τῶν Χριστιανῶν, θεέ μου, δὲν τὰ θέλεις,
νὰ σὲ δοξάζουν ἀσεβεῖς 'ς τὸ ἅγιόν σου σπήτιν,
ἀπέσω 'ς τὴν ἁγιὰν Σοφιὰν, 'ς τὰ ἅγια τῶν ἁγίων;
τίς εἶδεν ἢ τίς ἤκουσέ ποτέ του τέτοιον πρᾶγμα,

The news of the capture of Constantinople by the Turks should sadden the hearts of the nations of the West.

Lamentation of the lost splendour of the Byzantine empire.

123. φούσκωσις, Ell.; φύσκωσις (without ἡ), Duc. p. 1699; Sathas, Τουρκοκρ. Ἑλλ. p. 1, proposes φούσταις τῆς Ἀνατολῆς.—125. ἔνε, Kor. p. 123; ἔνι, Ell.—127. Duc. p. 741.—132. ὁμῶς, Ell.—135. ὁμάδην, Ell.—136–40. Duc. 'Constantinopolis Christiana' (Par. 1682), l. iv. p. 91.—144. Kor. p. 148, ποῦ ἦν; Ell. has ποῦναι.—147. ποῦ ἦν, Kor. p. 148; Ell. like 144.—150. Kor. p. 123.—153. θέλῃς, Ell.

οἱ ἀσεβεῖς νὰ πάρουσι τὸ σπήτι τῶν ἁγίων,
νὰ σὲ δοξάζουν, κύριε, οἱ Τοῦρκοι σοδομίταις;
θεέ μου, πῶς ἀπέμεινες τὴν τόσην ἀνομίαν,
καὶ πῶς τὸ κατεδέχθηκες, δύναμις τῶν ἀγγέλων;
ἐχάθησαν οἱ Χριστιανοί, θεέ, πῶς τὸ ἀπομένεις;
αἱ ἰδικαῖς μας ἁμαρτιαῖς τὸ προξενῆσαν τοῦτο·
σύννους, συστρέφων κατὰ νοῦν καὶ πάλιν οὕτως λέγω.

But the Emperor should not be blamed for this misfortune.

ὦ βασιλεῦ παμφρόνιμε, ἀνδρειωμένε Κωνσταντῖνε,
δὲν πρέπει ἄνθρωπός τινας νὰ σὲ κατηγορήσῃ,
μικρὸς ἢ μέγας διὰ νὰ 'πῇ, διὰ νὰ σὲ ὀνειδίσῃ,
λόγον ποτὲ εἰς γέλοιον καὶ νὰ ἀναγελάσῃ,
νὰ εἴπῃ πῶς καὶ διὰ σὲ ἐχάθηκεν ἡ πόλις,
καὶ πῶς τὴν ἐπερίλαβαν οἱ ἀσεβεῖς τὴν πόλιν·
μηδὲ κατηγορήσετε τὸν βασιλεὰ αὐθέντην
οὐδὲ τοὺς ἄρχοντας αὐτοῦ οὐδὲ τοὺς στρατιώτας,
μικροὺς, μεγάλους ἢ πτωχοὺς, πλουσιοὺς, ἀνδρειωμένους.

The Greeks were deceived and deserted by those who ought to have been their natural allies against the Turks.

τὸ θάρρος ὁποῦ ἤλπιζαν οἱ Χριστιανοὶ 's τὴν πόλιν
ἦτον 's τὸν ἁγιώτατον τὸν πάπαν τε τῆς 'Ρώμης
κ' εἰς τοὺς καρδιναλίους του, νὰ δώσουσι βοήθειαν·
εἰς τοὺς ῥηγάδες τῆς Φραγκιᾶς τῶν αὐθεντῶν τῶν ὅλων,
δουκάδες, κοῦντοι, πρίγκιπες καὶ τὰ κουμούνια ὅλα,
μετὰ τοῦ βασιλέως τε τοῦ τῆς 'Αλαμανίας·
Σέρβους καὶ 'Ρώσους, Βλάχους τε ὁμοίως καὶ Οὐγγάρους,
τοὺς Παίονας τοὺς φημιστοὺς, τοῦ Πιάγκω τὰ φωσάτα,
κάτεργ' ἀπὸ τὴν Βενετιὰν τὴν πολυχρυσωμένην,
καράβι' ἀπὸ τὴν Γένοβαν, τριήρεις καὶ λιβιέρα,
κι ἀπὸ τὴν Κατελλώνιαν κι ἀφ' ὅλην τὴν 'Ιτάλιαν,
νὰ δράμουν νὰ βοηθήσουσι τὴν ταπεινὴν τὴν πόλιν,
τὴν πόλιν τὴν πανάτυχον, τὸ μέλος τὸ οἰκεῖον,
τὸν βασιλέα τὸν πτωχὸν, τὸν ἄθλιον Κωνσταντῖνον,
ὁποῦ 'χε πάντα καὶ ἀεὶ 's αὐτοὺς, νὰ τὸν βοηθήσουν,
τὸν πόθον καὶ τὴν πίστιν του καὶ ὅλον του τὸ θάρρος,
καὶ ἐγελάσθην ὁ πτωχὸς κ' ἔχασε τὴν ζωήν του,
κι ἀπέθανεν, ὡς λέγουσιν, ἐπάνω 's τὸ σπαθί του.
τὸ θάρρος ὁποῦ ἤλπιζεν εὑρέθην γελασμένος,
καὶ ἐκομπώθην εἰς αὐτοὺς κ' ἐγίνην χαλασμένος,

159. 's τὴν, Ell.—161. ἀπομένῃς, Ell.—162. ἰδικαῖς μου, Ell. and Kor. p. 159.—164. Perhaps ἀνδρεῖε.—168. νὰ εἰπῇ, Ell.—191, 2. Kor. p. 195.—192. ἐκομπόθην and κ' ἐγίνη, Ell.; καὶ γίνειν, Kor.

κι ἐχάθησαν οἱ Χριστιανοὶ Ῥωμαῖοι καὶ Λατῖνοι.
ἐκεῖν' ἡ ἡμέρα σκοτεινὴ, ἀστραποκαϊμένη
τῆς τρίτης τῆς ἀσβολερῆς, τῆς μαυρογελασμένης,
τῆς θεοκαρβουνόκαυτης, πουμπαρδοχαλασμένης,
ἔχασε μάννα τὸ παιδὶ καὶ τὸ παιδὶν τὴν μάνναν,
καὶ τῶν κυρούδων τὰ παιδιὰ ὑπᾶν ἀσβολωμένα,
δεμέν' ἀπὸ τὸν σφόνδυλα ὅλ' ἀλυσσοδεμένα,
δεμέν' ἀπὸ τὸν τράχηλον καὶ τὸ οὐαὶ φωνάζουν,
μὲ τὴν τρομάραν τὴν πολλὴν, μὲ θρηνισμὸν καρδίας.
τρέμουν ὡς φυλλοκάλαμον ἐξετραχηλισμένα,
γυμνὰ, χωρὶς 'πουκάμισον, ἐξάγκωνα δεμένα,
βλέπουν ἐμπρὸς κι ὀπίσω των, μὴ νὰ 'δοῦν τοὺς γονεῖς των,
καὶ βλέπουν τοὺς πατέρας των ἐξάγκωνα δεμένους·
ὁ κύρις βλέπει τὸ παιδὶν καὶ τὸ παιδὶ τὸν κύριν,
ἄφωνοι δίχως ὁμιλιὰν διαβαίνουν τὸ μαγκούριν.
αἱ μάνναις αἱ ταλαίπωραις ὑπᾶν ξεγυμνωμέναις,
τῆς πόλης αἱ πολίτισσαις ἐξανασκεπασμέναις,
πλουσιαῖς, πτωχαῖς ἀνάκατα, μὲ τὸ σχοινὶ δεμέναις,
τῆς πόλης αἱ εὐγενικαῖς, αἱ ἀστραποκαϊμέναις·
ὁ ἀδελφὸς τὸν ἀδελφὸν βλέπει σιδηρωμένον,
θωροῦν καὶ τὸν πατέρα των μὲ ἄλυσσον δεμένον,
καὶ δύ ἀδελφάδες εὔμορφαις, πολλὰ ὡραιωμέναις,
ἐντροπιασμένα ἐπάγαιναν μὲ τὸ σχοινὶ δεμέναις,
ἐστράφησαν ὀπίσω ταις, βλέπουν τοὺς ἀδελφούς των
ὁμάδιν μὲ τὸν κύριν των νὰ κλαίγουν, νὰ θρηνοῦνται.
τὸ δάκρυον τ' ἀστάλακτον, ὁ βοησμὸς κλαμάτου,
ἐφαίνετο, ἐβύθιζεν ἡ σφαίρωσις τοῦ Κρόνου,
νὰ κλαίῃ ἡ μάννα τὸ παιδὶ καὶ τὸ παιδὶ τὴν μάνναν,
τὰ κλάματα νὰ λούνουνται, ὁ φίλος μὲ τὸν φίλον,
ὁ σύντεκνος τὴν σύντεκνον, ὁ γείτων πάλιν γείτων,
νὰ κλαίουν, νὰ θρηνίζωνται, νὰ μεγαλοφωνάζουν·
ἐκ τὴν μεγάλην συμφορὰν πικρᾶς αἰχμαλωσίας
ἐτοῦτα ἤλπιζ' ἐλεεινὸς νὰ γράψω διὰ τὴν πόλιν,

The misery in the city on the day of its capture by the Infidels.

194–6. Duc. p. 220; ἐκείνη μέγα, Duc.—197. Duc. p. 861; Kor. p. 381; παιδὶ, Ell.; παιδὶν, Duc. Kor.—200. φωνάζον, Ell.—201. Duc. p. 1616; θρήνησιν, Ell.; θρηνισμὸν, Duc.—202, 3. Kor. p. 378.—203. Duc. p. 564; γυμνοὶ and δεμένοι, Duc.—206, 7. Kor. p. 228; παιδὶν, Kor.; παιδὶ, Ell.—210. Kor. p. 228, who has σκηνὴ.—214. δύο, Ell.—216, 17. Kor. p. 272.—217. ὁμάδι, Ell.; ὁμάδιν, Kor.—225. ἤλπιζα, Ell.

νὰ γράψω λόγια θλιβερὰ ἐξ ὅλης τῆς ψυχῆς μου·
καὶ πῶς ἀπὸ τὸ σῶμά μου οὐδὲν ἐξανασπᾶται,
νὰ τὴν ἐπάρῃ ὁ ἄγγελος ἀπ' τὴν πολλήν μου λύπην,
ὅμως ἐτοῦτα τὰ πολλὰ κι ὁ χαλασμὸς τῆς πόλης,
αἱ ἐδικαῖς μας ἁμαρτιαῖς, οὐαὶ, τὰ ἐπροξενῆσαν.
λοιπὸν μὴ ὀνειδίζετε τὸν βασιλεὰ, αὐθένταις,
διατὶ ὅλον τὸ πταίσιμον ἦτον εἰς τοὺς ῥηγάδες
κ' εἰς τοὺς αὐθέντας τῆς Φραγκιᾶς, ὁποῦ 'παν νὰ βοηθήσουν
τὴν πόλιν τὴν θεόκτιστον, νὰ τὴν ἀποκρατήσουν,
ἀμμ' ὅλοι νὰ βοηθήσουσι, νὰ τὴν ἀποκερδήσουν,
διατ' ἦτον σπήτιον ὁλωνῶν, Ῥωμαίων καὶ Λατίνων,
καὶ δόξα τῶν πατριαρχῶν καὶ τῶν μητροπολίτων,
τοῦ πρωτοκλήτου τὸ σκαμνὶν Ἀνδρέου ἀποστόλου,
καὶ θρόνος οἰκουμενικός· οὐαί σοι πάλιν, πόλις.
ποῦ 'ναι τὰ μοναστήρια σου, ποῦ 'ναι οἱ καλογήροι,
παπάδες, ψάλταις, ἱερεῖς καὶ κοσμικοὶ ὁμοῦ τε,
καὶ φιλοσόφοι, ῥήτορες τῆς ἑπτασόφου τέχνης;
θεέ μου, πῶς ἀπέμεινες τὴν ἀνομίαν ταύτην;
καὶ πῶς τὸ κατεδέχθηκες, δύναμις τῶν ἀγγέλων;
αἱ ψευδελπίδες δολεραῖς τὸ προξενῆσαν τοῦτο.
ὦ Κωνσταντῖνε βασιλεῦ, κακὸν ῥιζικὸν ὁποῦ 'χες.

The princes of the West ought to combine against the common enemy of all Christians.

*Ας ἔλθω 's τὸ προκείμενον τοῦ πονεμένου θρήνου,
νὰ μὴ πλαντάξω ἄτυχος ἐκ τὸ πικρὸν τὸ τόσον.
αὐθένταις εὐγενέστατοι, τῆς Δύσης μεγιστᾶνες,
ἐδῶ ἂς φανῇ ἡ δόξα σας, ὅλη ἡ δύναμίς σας,
ὅλοι νὰ ὁμονοιάσετε, νὰ ποίσετε ἀγάπην.
χρείαν σᾶς κάμνει καὶ πολλὴν νὰ 'βγάλλετε τὰ ἔθνη
ἀπὸ τὴν γειτονίαν σας συμὰ κ' ἐκ τὸ πλευρόν σας,
νὰ μὴ ἀγριεύσουν τὰ θηριὰ καὶ φᾶσι τὰ παιδιά σας,
μήπου κ' ἐξολοθρεύσουν σας ἀπὸ τὰ γονικά σας,
ὡσὰν τὸ 'ποίκαν καὶ πολλῶν κ' ἐξολοθρεύσασίν τους,
κυροῦδες, μάνναις καὶ παιδιὰ ἀπὸ τὰ γονικά των,
καὶ σκλάβοι διεσπάρτησαν 's ὅλην τὴν οἰκουμένην,
καὶ κλαῖν κ' ἀναστενάζουσιν μετὰ πολλῶν δακρύων.
ὅλος ὁ κόσμος τοῦ Χριστοῦ, ὅλοι νὰ μαδευτοῦσι,
τὴν πόλιν νὰ ἐπάρετε 'κ τῶν ἀσεβῶν τὰς χεῖρας·

227. ἐξανασπᾶσται, Ell.—227. 8. Kor. p. 278.—247, 8. Kor. p. 302; Duc. p. 1178.—260. Kor. p. 229.

καὶ μὴ ἀργεῖτε τίποτες τοῦ χρόνου ἡ τῶν χρόνων,
νὰ μὴ τὸ μετανοήσετε, εἰς τὴν ὑφὴν καὶ τέλος·
ἡ μετανόησις ἡ ὑστερινὴ πολλὰ 'ν' μετανοημένη.
λοιπὸν μὴ ἀναμένετε, πλέον μὴ καρτερεῖτε,
ὅλοι σας συγκροτήσετε, πλέον μὴ ἀκαρτερεῖτε,
περὶ τὰ πάντ' ἀπὸ ψυχῆς ὅλοι ἀγαπηθῆτε,
νὰ πᾶτε ὅλοι κατ' ἐχθρῶν, κατὰ τῶν Μουσουλμάνων,
καὶ δεῖτε εἰς ἐκδίκησιν, τρέχετε, μὴ σταθῆτε,
τὸν Μαχουμέτην σφάξετε, μηδὲν ἀναμελεῖτε,
τὴν πίστιν των τὴν σκυλικὴν νὰ τὴν λακτοπατῆτε·
'μέρα καὶ νύκτα μὲ σπουδὴν 'ς τὰ ἔθνη διὰ νὰ πᾶτε·
σηκώσατε καὶ τὸν σταυρὸν ὁποῦ 'ναι θεῖον ἄρμα,
ὡσὰν τὸ 'σήκωσέ ποτε ὁ μέγας Κωνσταντῖνος
καὶ τοὺς ἐχθροὺς ἐνίκησε καὶ ἐκατέβαλέν τους.
ὦ Κωνσταντῖνε Δράγαζη, κακὴν τύχην ὁποῦ 'χες.
καὶ τί νὰ λέγω, οὐκ ἠμπορῶ, καὶ τί νὰ γράφω, οὐκ οἶδα.
σκοτίζει μου τὸν λογισμὸν ὁ χαλασμὸς τῆς πόλης,
καὶ τὸ πολύ της τὸ κακὸν πῶς νὰ ἐβγῇ 'ς τὸν κόσμον.
ἐδὲ μανδάτον θλιβερὸν ποῦ θέλει 'πᾷ 'ς τὸν πάπαν,
τὴν κορυφὴν τῶν Χριστιανῶν, μέσα 'ς τὸν ἅγιον Πέτρον,
καρδιναλίους δώδεκα καὶ ἄλλους ἑβδομῆντα.
πῶς νὰ τὸ πιάσῃ ἡ ἐκκλησιὰ, ἡ συμβουλὴ τῆς 'Ρώμης,
καὶ πῶς νὰ τὸ συλλογισθοῦν τῆς Δύσης οἱ αὐθένταις,
ῥηγάδες, κόντοι, πρίγκιπες, δουκάδες, καβαλλάροι,
πῶς νὰ τὸ συμμετρήσετε, νὰ τὸ συλλογισθῆτε,
τὸ δολερὸν καὶ σκοτεινὸν τῆς πόλης τὸ μανδάτον;
ἦλθε καιρὸς τῶν Χριστιανῶν, Λατίνων καὶ 'Ρωμαίων,
'Ρώσων καὶ Βλάχων καὶ Οὐγκρῶν, Σέρβων καὶ 'Αλαμάνων,
ὅλοι νὰ ὁμονοιάσουσιν, νὰ γένουσι τὸ ἕνα,
καὶ νὰ ὁμοφωνήσουσιν οἱ Χριστιανοί τε ὅλοι,
καὶ νὰ σηκώσουν τὸν σταυρὸν, τοῦ Χριστοῦ τὸ σημάδι,
μὲ λιτανείαις, δέησες, προσευχαῖς καὶ δακρύων,
καὶ νὰ παρακαλέσουσιν ἐξόχως τὴν κυρίαν,
νὰ δεηθῇ πρὸς κύριον τοῦ νὰ μᾶς δώσῃ νῖκος.
Ὦ Βενετία φουμιστὴ, μυριοχαριτωμένη, The Venetian republic is

262, 3. Kor. p. 367.—267. πάντα, Ell.—270, 1. Kor. p. 224; Duc. Add. p. 122.—272. Duc. p. 906.—275. ἐκατέβαλλεν, Ell.—277. Kor. p. 147.—296. Kor. p. 334.

implored to remember its own losses and arm against the Turks.

αὐθένταις εὐγενέστατοι, λάθος μεγάλον ἦτον,
εἰς τὴν Κωνσταντινούπολιν μεγάλον κρίμα ἦτον.
ποῦ ἦτον ἡ βοήθεια σας, αὐθένταις Βενιτζιάνοι;
τὸ δολερὸν καὶ σκοτεινὸν τῆς πόλης τὸ μανδάτον—
λέγουν· οἱ Τοῦρκοι ἐπήρασι τὴν Κωνσταντίνου πόλιν·
νὰ 'ποῦν· ἐχάθη καὶ αὐτὴ ὡσὰν τὴν Σαλονίκην.
τί ἐγίνετον ὁ μπάιλος; ποῦ οἱ πραγματευτάδες;
ποῦ τὸ λογάρι τ' ἄμετρο καὶ ποῦ αἱ πραγματείαις,
λιθομαργαριτάρια, ἀσήμι καὶ χρυσάφι,
καὶ στολησιαῖς καὶ φορεσιαῖς ὁποῦ 'χετε 'ς τὴν πόλιν;
ἐδὲ φωνὴν τὴν ἔσυρε κοράσιον ἐκ τὴν πόλιν·
"θεέ μου, πῶς ἀπέμεινες τὴν τόσην ἀνομίαν,
οἱ Τοῦρκοι νὰ κερδήσουσι τὴν πόλιν τὴν ὀλβίαν,
νὰ κενωθοῦν τῶν Χριστιανῶν τὰ αἵματα ὡς ὕδωρ;"

The Genoese lost even more: will they take no vengeance?

Ὦ Γενοβέσοι φρόνιμοι, ποῦ 'τον ὁ λογισμός σας,
καὶ ποῦ ἡ δόξα κ' ἡ τιμὴ καὶ ποῦ ἡ συμβουλή σας;
ποῦ 'ναι τ' ἀρχοντολόγια σας, ποῦ 'ναι ἡ παῤῥησιά σας;
ποῦ 'ναι τ' ἀσημοχρύσαφον καὶ τὸ πολὺ λογάρι,
ὁποῦ 'χετε 'ς τὴν Γαλατὰν εἰς τὰ σκηνώματά σας;
καὶ ποῦ 'ναι αἱ εὐγενικαῖς καὶ αἱ ἀρχοντοπούλαις,
τοῦ κάστρου αἱ Γαλατιαναῖς, αἱ Γενοβεσοπούλαις;
οἱ Τοῦρκοι τὰς ἐπήρασιν, ἀπεκερδήσασίν ταις.
ὦ Γενοβέσοι φρόνιμοι, μὴ τὸ καταπατεῖτε·
τὴν δύναμίν σας βάλλετε ὥστε νὰ 'κδικηθῆτε
τὰ ἔθνη τὰ ἀλλόπιστα 'ς τὴν βρομερήν των πίστιν.
μὴν τοὺς ἀφήσετε λοιπὸν 'ς τὴν πόλιν νὰ σταθοῦσιν,
μηδὲ ῥιζώσουσιν ἐκεῖ ἢ νὰ πολυσταθοῦσιν
καὶ κάμουν ῥίζαις δυναταῖς ἀνανασπάστους διόλου
εἰς τὴν Κωνσταντινούπολιν, καὶ τίς νὰ ταῖς ἀνασπάσῃ;
ἀμμὴ ὁ παντοδύναμος θεὸς ὁ παντεπόπτης
καὶ ἡ μητέρα τοῦ Χριστοῦ, ἡ τοῦ θεοῦ καὶ λόγου,
οἱ ἅγιοι ἀπόστολοι καὶ μετὰ τῶν προφήτων.
ὦ Κωνσταντῖνε βασιλεῦ, τύχην βαρειὰν ὁποῦ 'χες.

The poet turns for help to the King of France,

θέλω νὰ δώσω ἐνθύμησιν 'ς τῶν αὐθεντῶν τῆς Δύσης
ῥῆγαν τὸν ἐκλαμπρότατον τοῦ Παρισιοῦ, τὸν πρῶτον
πρωτόαρχον τῶν αὐθεντῶν, τῶν τοπαρχῶν τῆς Δύσης.

303. Duc. p. 169.—313. Kor. p. 68.—322. Kor. p. 246.

ὦ Φράτζα τιμιώτατη καὶ πολυφουμισμένη,
Φρατζόρσιδες πολεμισταὶ, ἄνδρες μου στρατιῶται,
ἠξεύρετε πληροφοριάν· ἐχάθηκεν ἡ πόλις.
τώρ' ἂς φανῇ ἡ δύναμις ὁμοῦ καὶ ἡ στρατιά σας,
νὰ δράμετε ἀπόκοτα μὲ φρόνησιν καὶ πρᾶξιν,
ἐκδίκησιν νὰ ποίσετε τῆς ταπεινῆς τῆς πόλης.
διατὶ καὶ τὸ βασίλειον ἀπὸ τὴν Φράτζαν ἦτον,
ἔνι καὶ δίκαιον λοιπὸν τοῦ γένους νὰ βοηθῆτε,
καὶ μὴ ἀργῆτε, κἂν ποσῶς πάραυτα ἐγερθῆτε·
νὰ πᾶτε μὲ βοήθειαν θεοῦ παντοδυνάμου,
νὰ πολεμήσετε καλῶς μετὰ Μαχουμετιάνους·
θέλημα ἔνι τοῦ θεοῦ 's τὰ ἔθνη νὰ ὑπᾶτε.
Λοιπὸν κοντεύγω τὰ πολλὰ, στρέφομαι πρὸς 'Αγκλέζους. to the English,
ὦ 'Αγκλέζοι φρονιμώτατοι, τίμιοι τῶν ἁρμάτων,
οὐδὲν ἠξεύρω τί νὰ 'πῶ οὐδὲ τὸ τί νὰ λέξω.
οἱ Χριστιανοὶ μὲ Χριστιανοὺς νά 'ναι τόση κατάρα,
νὰ σφάζουνται ἀλλήλους των καὶ νὰ μηδὲν λυποῦνται,
νὰ χύνουσι τὰ αἵματα ὁμοῦ ἕνας καὶ ἄλλος,
καὶ νὰ τὸ δέχεται ἡ γῆ καθήμερα νὰ πίνῃ·
ὦ μέγα κρίμα κι ἄδικον, καὶ μαυρισμένη μοῖρα.
θεέ μου, διὰ τὴν δόξαν σου βάλλε τους εἰς ἀγάπην,
Φραζζέζους καὶ 'Αγκλέζιδες, Σπανιόλους, 'Αλαμάνους,
πᾶσ' αὐθεντία, πᾶσ' ἀρχὴ, τῆς Δύσεως τὰ μέρη,
νὰ ὁμονοιάζουν ἔμπιστα, νὰ πᾶν κατὰ τὰ ἔθνη,
τὴν πόλιν τῶν Χριστιανῶν, Λατίνων καὶ 'Ρωμαίων,
νὰ πάρουν ἀφτὰ χέρια των, νὰ κόψουν ἔπαρσίν των.
οὐ δύναμαι νὰ γράψω πλεὸν, αὐθένταις μεγιστᾶνοι,
μὴ ξεψυχήσω ὁ ἄτυχος κρατῶντα τὸ κονδύλι,
μὴ ξεψυχήσω ὁ ταπεινὸς ἐκ τὴν πολλήν μου θλίψιν·
ὅμως ἐδᾶ καὶ πάντοτε μετὰ ψυχῆς κραυγάζω
θεὸν τὸν παντοδύναμον τοῦ νὰ σᾶς εἰρηνεύσῃ,
τὴν πόλιν νὰ ἐπάρετε 'κ τῶν ἀσεβῶν τὰς χεῖρας.
Τώρα ἀναθυμήθηκα τὸν αὐθέντη, τὸν Δοῦκαν, the Duke of Burgundy,
κύριον τῆς Μπουργούνιας, τὸν μέγαν στρατιώτην.
ὦ Μπουργουνέζοι ἀληθινοὶ, ἄνδρες ἀνδρικωτάτοι,

333, 4. Duc. p. 1702.—337, 8.—Kor. p. 60.—345. Duc. p. 709; Kor. p. 196. 354. Duc. p. 1702.—356. Kor. p. 181.—357, 8. Kor. p. 202; Ell. has ἀπ' τὰ, but according to Kor., the MS. reads αὐτὰ.

ὁποῦ 'χετε πολλὴν φιλιὰν πάντα 's τὴν βασιλείαν,
εἰς ἄρχοντας καὶ εἰς πτωχοὺς κ' εἰς τὴν ἁγιὰν Σοφίαν,
ποῦ 'ναι ὁ φίλος σας λοιπὸν, βασιλεὺς Καλοιωάννης,
καὶ Κωνσταντῖνος Δράγαζης, ὁ ἀδελφὸς ὁ τούτου,
ὁποῦ 'χαν πόθον εἰς ἐσὲ κ' ἐσὺ πάλιν εἰς αὐτους ;
καὶ ποῦ 'ναι ἡ ἁγιὰ Σοφιὰ μετὰ τὴν ὁδηγήτριαν,
ὁποῦ 'χες 's τὴν ἀγάπην σου, δοῦκά μου τῆς Μπουργούνιας ;
ἡ πόλις ἡ ἀγάπη σου, ἐπῆράν την οἱ Τοῦρκοι·
ἡ ὁδηγήτρι' οὐ φαίνεται, ἡ ἁγιὰ Σοφιὰ ἐχάθην,
ὁ φίλος σου ὁ βασιλεὺς οὐδὲ ποσῶς εὑρέθην·
τοὺς ἄρχοντας ἐκόψασι τὰ Τουρκικὰ μαχαίρια,
καὶ οἱ πτωχοὶ οἱ ταπεινοὶ ὅλοι ἠχμαλωτισθῆκαν.
λοιπὸν πανυψηλότατε, ἐκλαμπρότατε δοῦκα,
κύριε τῆς Μπουργούνιας, αὐθέντη καὶ δεσπότη,
σήκωσε τὸ σταντέλι σου μετὰ πολλῆς ἰσχύος·
νά 'νεν κι ὁ φόβος τοῦ θεοῦ ἐμπρὸς κατ' ὀφθαλμούς σου,
καὶ δράμε εἰς ἐκδίκησιν τῆς Κωνσταντινουπόλης·
ὁμοῦ μὲ ἄλλους Χριστιανοὺς δράμετε, μὴ ἀργεῖτε,
τὸν Τοῦρκον μὴ ἀφήσετε, ὅλοι ἁρματωθῆτε,
τοὺς Τούρκους ἐξαλείψατε, ἐξανασπάσετέ τους.
μὴν ἀμελήσῃς τὸ λοιπὸν, δοῦκά μου στρατιῶτα,
ἄμε, δράμε 's ἐκδίκησιν τοῦ βασιλεῶς, τῆς πόλης,
τῆς ὁδηγήτριας τῆς κυρᾶς καὶ τῆς ἁγιᾶς Σοφίας,
ὡς φίλος γνησιώτατος ὁποῦ 'σουν τῶν 'Ρωμαίων,
μὲ τὴν ψυχὴν διὰ νὰ 'μβῇς ὡσὰν τὸν Πτολεμαῖον,
τὴν πόλιν νὰ ἐπάρετε καὶ μὴν ἀκαρτερεῖτε,
καὶ νὰ τὸν ἀκοντίσετε μὲ τὴν καρδιὰν τὸν σκύλον,
ὅτι ἐκενοδόξησεν ἀπὸ τῆς εὐτυχιᾶς του·
νὰ μὴ μετανοήσετε κ' ὑστέρου νὰ θλιβῆτε,
καὶ τό 'χετε νὰ κάμετε, μηδὲν τὸ ἀμελεῖτε.

the Provençals, Spaniah and Portuguese.

'Αφίνω τον τὸν εὐγενὴν τὸν δοῦκαν τῆς Μπουργούνιας,
κ' εἰς τὴν Προβέντζα στρέφομαι καὶ συνθρηνῶ μετά τους.
ὦ Προβεντζάλοι εὐγενικοὶ, στρατιῶται τοῦ πολέμου,
μετὰ τῶν 'Ισπανιόλων τε καὶ τῶν Πορτουγαλέζων,
ἠξεύρετε ἀληθινά· ἐχάθηκεν ἡ πόλις,
ἐπῆράν την οἱ ἀσεβεῖς καὶ ἠχμαλώτευσάν την.

374. 's is not in the MS. nor in Ell.—394. Perhaps it ought to be μέσ' τὴν καρδιάν.—396. Kor. p. 367.—399. Kor. p. 244.

ἀπὸ ἐλπίδας δολερὰς ἡ καὶ φιλαργυρίας
ἐχάθηκεν ἡ ταπεινὴ ἡ Κωνσταντίνου πόλις.
Πλανῆται, μὴ ἀνατείλετε, τὸν κόσμον νὰ φωτῆτε·
's τῆς πόλης τὰ περίγυρα μὴ λάμψετε, μὴ σταθῆτε,
μὴ 'ματωθοῦν ἡ ἀκτῖνές σας 's τὸ αἷμα τῶν 'Ρωμαίων.
ἤλιε, πλανῆτα τοὐρανοῦ, ποσῶς μὴ ἀνατείλῃς,
τῆς πόλης τὰ θεμέλια πρόσεχε νὰ μὴ κλίνῃς,
μὴ 'ματωθοῦν ἡ ἀκτῖνές σου 's τὸ αἷμα τῶν Λατίνων,
τῶν Γενοβέσων σὺν αὐτοῖς καὶ τῶν Φράγκων τῶν ἄλλων.
Κρόνε, πλανῆτα τοὐρανοῦ, πρόσεχε μὴ ἀνατείλῃς
's τὴν πόρταν τῆς βασιλικῆς τῆς Κωνσταντινουπόλης,
μὴ 'ματωθοῦν ἡ ἀκτῖνές σου 's τὸ αἷμα τῶν Λατίνων,
Σπανιόλων, Προβεντζάλων τε καὶ Μοιροκατελάνων.
ὦ Ζεῦ, πλανῆτα τοὐρανοῦ, βλέπε μὴ ἀνατείλῃς
ἐκεῖ 's τὸν ἅγιον 'Ρωμανὸν, 's τὸ τείχωμα τῆς πόλης,
μὴ 'ματωθοῦν ἡ ἀκτῖνές σου 's τὸ αἷμα τῶν παρθένων.
Ἄρης ἐπαιρινοδιάβαινε τὴν τρίτην βουρκωμένος,
ἀπὸ τὸν ἅγιον 'Ρωμανὸν, ὅλως αἱματωμένος,
's τὸ αἷμα τῶν Χριστιανῶν αἱματοκυλισμένος.
ἡ Ἀφροδίτη ἔστεκε τὰ δάκρυα γεμισμένη,
νὰ κλαίῃ νέους εὔμορφους, κοράσια ὡραιωμένα.
καὶ ὁ Ἑρμῆς τάχα θρηνῶν παρηγορῶν ἐκείνην·
"τί ἔχεις, Ἀφροδίτη μου, καὶ εἶσαι χολιασμένη;"
καὶ ἡ Σελήνη ἀπὸ μακρὰ στέκει κι οὐδὲν συμόνει,
καὶ βλέπει καὶ θαυμάζεται, καὶ τρέμει ἀπὸ τὸν φόβον.
καὶ τὰ στοιχεῖα τοὐρανοῦ κλαίουν, θρηνοῦν τὴν πόλιν.
Σχολάζω τοῦ νὰ πάγω ἐμπρὸς, ν' ἀφηγηθῶ καὶ τἄλλα,
διατὶ ἡ ψυχή μου βλέπω την καὶ θέλει νὰ μ' ἀφήσῃ,
νὰ 'βγῇ 'κ τὰς ἁρμονίας μου καὶ ἐκ τὰ σωτικά μου·
μὴ σκάσω ὁ κακότυχος, γράφοντα μὴ πλαντάξω,
μήπως καὶ παραλογισθῶ, θεὲ, βοήθησέ μου.
στρέφομαι εἰς βοήθειαν νὰ 'πῶ ὅπως νὰ δώσουν,
κι ἀντιβολῶ, παρακαλῶ εἰς πάσαναν αὐθέντην,
Σπανιόλους, Προβεντζιάλους τε μὲ τῶν Πορτουγαλέων·
μόνον νὰ ὁμονοιάσουσι, ἂν θέλουσι καὶ μόνον,
τὸν Τοῦρκον ἐξερίζονουν σύρριζον ἐκ τὴν Δύσιν,
καὶ μετ' αὐτοὺς ὁ εὐγενὴς ὁ ῥῆγας τῆς Γρανάτας.

Address to the planets to bewail the downfall of the Empire.

420. Duc. p. 222.—430. το, Ell.—433, 4. Duc. p. 1178; Kor. p. 302.

ἀμμὴ κι αὐτὸν ἀφήσετε τὸν ἀσεβὴν τὸν σκύλον,
κι οὐδὲν τὸν ξεριζώσετε πάραυτα διαχρῆμα.
συγοπατῶ κι ἀφίνω το κ' ἐσεῖς νὰ τὸ εὑρῆτε·
ὅτι βλέπω κ' ἐπήδησε κ' ἐκάτσε εἰς τὴν Δύσιν,
ὡς πάρδος λεοντόπαρδος, ὡς λέων πεινασμένος,
καὶ τρώγει σας τὴν σάρκα σας, καὶ πίνει σας τὸ αἷμα,
ὡσὰν γλυκὺ μαγείρευμα καὶ δίχα θέλημά σας.
κ' ἔδε κρίμα τὸ κάμνετε κι ὡς πότε νά 'νεν οὕτως,
νὰ κάθεται 'ς τὸν τόπον σας, νὰ τρῷ τὰ σωτικά σας;
ὅμως ὁ θεὸς ὁ δυνατὸς νὰ σᾶς ἐγκαρδιώσῃ,
νὰ ποίσετε ὁμόνοιαν εἰς μιὰν καρδιὰν οἱ ὅλοι,
καὶ νὰ τὸν ξεριζώσετε παντάπαν ἀπ' τὸν κόσμον.
εἰς τοῦτο δὲ παρακαλῶ, αὐθένταις καὶ ῥηγάδες,
ἂν ἔγραψα παράξενα, νὰ μὴ μὲ βαρεθῆτε,
ἀμμὴ νὰ μ' ἀπομείνετε διὰ τὸν θεὸν, αὐθένταις.

Delay being dangerous, the Turks should not be allowed time to consolidate their empire at Constantinople.

Ὦ Κωνσταντῖνε βασιλεῦ, τύχην κακὴν τὴν εἶχες.
ἂς ἔλθω 'ς τὸ προκείμενον τῆς ταπεινῆς τῆς πόλης,
τὸν Τοῦρκον τὸν παράνομον ἐβγάλλετε 'κ τὴν Δύσιν.
τινὰς ἀγάπην μετ' αὐτὸν μὴ βουληθῇ νὰ ποίσῃ,
μὲ τὴν ἀγάπην ἔφαγε τὸν κόσμον ὅπου ὁρίζει.
λοιπὸν ἂν τὸν ἀφήσετε μόνον καὶ δύο χρόνους
εἰς τὴν Κωνσταντινούπολιν νὰ περιανασάνῃ,
ὀμνύω σας εἰς τὸν θεὸν, ὅλους μας θέλει φάγει.
μηδὲν ἀναμελήσετε, ποσῶς μηδὲν σταθῆτε,
τὸν Τοῦρκον νὰ ἐβγάλλετε, αὐθένταις νὰ γενῆτε,
τότε νὰ κεφαλαιώσετε, αὐθένταις νὰ γενῆτε,
ν' ἀναπαυθῆτε ὅλοι σας, τινὰ νὰ μὴ φοβῆσθε.
καὶ μέγαν λύκον ἔχετε, χάσκει ὡσὰν τὸ ψάρι,
τὰ αἵματα τῶν Χριστιανῶν πίνει ὡσὰν λεοντάρι·
διὰ τοῦτο ὅλοι Χριστιανοὶ ἂς πᾶν μὲ τὸ καμάρι.
νὰ τὸν ἐξεριζώσετε τὸν σκύλον τὸν λυσσιάρην,
θεὸς ὁ παντοδύναμος θέλει σᾶς δώσει χάριν,
τὸ πνεῦμα τὸ πανάγιον καὶ νὰ σᾶς ἐφωτίσῃ
μὲ προθυμίαν δυνατὴν καὶ μὲ ψυχὴν μεγάλην,
καὶ νὰ τὸν ἀφανίσετε, ὡς ὁ θεὸς τὸ θέλει.
ὁ Τοῦρκος ἕνι δυνατὸς, ἔχοντα καὶ τὴν πόλιν

443. Duc. Add. p. 170.—449. Duc. Add. p. 181.—469, 70, 71. Duc. p. 559.—472, 3. Kor. p. 112.

θελει γενῆν ἀνήμερος δράκος καὶ λεοντάρι.
τώρα τὸ βούλομαι νὰ 'πῶ, ὁ κόσμος τὸ κατέχει.
ἐκ τοῦ 'Ηρακλείου τὸν καιρὸν ἐγέρθην ὁ Μωάμεθ·
καὶ ἀπ' ἐξαύτου τὴν ἀρχὴν ἐφάνη τέτοιον ἔθνος,
κ' ἐπάτησεν εἰς 'Ρωμανιὰν καὶ νὰ τελῇ κατ' ἔτος
τὴν ἄτυχον κ' ἐλεεινὴν τὴν Κωνσταντίνου πόλιν·
μὲ τ' αὔριον, μὲ τὸ σήμερον ἀπὸ τόπον εἰς τόπον,
ἐξ 'Ανατολῶν ἐπήδησεν κ' ἐκάτσε κ' εἰς τὴν Δύσιν,
εἰς τὸ σκαμνὶν τῶν Χριστιανῶν, τὸ κεφαλοδοτίκι.
'Ηράκλειος καὶ πρὸ αὐτοῦ ὁ μέγας Κωνσταντῖνος
καὶ μέχρι 'Ιουστινιανοῦ οἱ πρώτιστοι τῆς πόλης,
ἡ πόλις ἐκυρίευεν 'Ανατολὴν καὶ Δύσιν,
καὶ τώρα τὸ μειράκιον, τὸ συχαντὸν τὸ ἔθνος,
ἐνέβηκεν, ἐψήλωσεν, ἐγίνη αὐθέντης μέγας·
ἐπάρθηκεν ὁ ἀσεβὴς ὡς διάβολος διώκτης,
τὸν κόσμον ὅλον βούλεται, θέλει νὰ τὸν ἐφάγῃ·
καὶ πᾶσα εἷς ἂς βλέπετε, μικρὸς καὶ μέγας αὐθέντης,
μὴ συντροφιάσῃ μετ' αὐτὸν, μὴ φιλευθῇ μηδ' ὅλως,
μηδὲ δεκτῇ ὁρκομοτικὰ, μηδεὶς αὐτὸν πιστεύσῃ·
τοὺς ὅρκους κάμνει δολεροὺς, ὀμνεῖ κ' εἰς τὸ σπαθί του,
ἐξ ὕστερου θανατόνει τους καὶ ἐπιορκεῖ ὁ σκύλος·
τὸν ὅρκον τον ὁ ἀσεβὴς ποσῶς οὐ στέργει τοῦτο,
διατ' ἔνι γένος ἄπιστον καὶ πλῆρες γέμον δόλου.
καὶ ὁ Χριστὸς ὁποῦ 'παθεν δι' ἡμᾶς τοὺς ἀνθρώπους,
καὶ τὸν σταυρὸν μᾶς ἔδωκεν ὅπλον καὶ μέγαν ἅρμα,
'ς τὸ νὰ νικοῦμεν τοὺς ἐχθροὺς ὁρατοὺς κι ἀοράτους·
σηκώσετέ τον, τὸν σταυρὸν, μὲ φόβον καὶ καμάρι,
κι ἀμέτε καταπάνω του τοῦ σκύλου μαγαρίτου.
ἐλπίζω, λέγω εἰς θεὸν, καὶ γράφω μετὰ θάῤῥους,
τὸν Τοῦρκον νὰ νικήσετε μὲ τοῦ σταυροῦ τὴν χάριν,
καθά ποτε ὁ ἅγιος ὁ μέγας Κωνσταντῖνος.
'Αφίνω τώρα τοὺς πολλοὺς καὶ τοὺς Προβεντζιάλους,
καὶ τῶν Πορτουγαλέων τε μετὰ τῶν Σπανιόλων,
καὶ στρέφομαι 'ς τὸν βασιλεὰ τὸν τῆς 'Αλαμανίας,

The growth of the Turkish power.

The poet turns to the German Emperor,

483, 4. Kor. p. 74.—484, 5. Duc. p. 1380.—492. Kor. p. 112.—493. Perhaps we should read ἂς βλέπῃ τα μικρὸς μέγας τ' αὐθέντης: cf. συντροφιάσῃ in the next line, and Mullach Gramm. der Vulgärspr. p. 389, 11.—495. Duc. Add. p. 146 has δέκτῃ; Ell. δεχθῇ. Perhaps we should read ὁρκοτομιὰ.—496. Ell. has ὀμνύει; but cf. Florios and Platziafi. v. 1494.—499. πλῆρες Ed. cj.; πλήρης Ell. See Florios, v. 26.

and the King of Hungary.

τὸν κράλην τὸν πανθαύμαστον, ῥῆγαν τῆς Οὐγκαρίας·
τοιοῦτος εἶν' ὁ βασιλεὺς ὁ τῆς 'Αλαμανίας,
καὶ πάλιν ὁ παμφούμιστος ῥῆγας τῆς Οὐγκαρίας,
ὡς τοὺς πλανήτας τοὺς ἑπτὰ νὰ ὑπερφέρουν δύο.
ὦ βασιλεῦ πανεύγνωστε ὁ τῆς 'Αλαμανίας,
καὶ σὺ, ῥῆγα πανένδοξε αὐθέντα Οὐγκαρίας,
νὰ ξεύρετε· ἐπήρασιν οἱ ἀσεβεῖς τὴν πόλιν,
κ' ἐχάθην ἡ ἀποκράτησις, βασιλεία 'Ρωμαίων.
ἀπὴν ἡ πόλις ἐχάθηκεν, ὁ κόσμος ἂς προσέχῃ·
ἦλθε καιρὸς, ὦ βασιλεῦ, νὰ πᾷς κατὰ τὰ ἔθνη,
χρείαν σου κάμνει περισσὰ, νὰ πάγῃς κατ' ἐκεῖνα.
ὦ συμφορὰ καὶ θρηνισμὸς καὶ κοπετὸς μεγάλος,
ὦ Κωνσταντῖνε βασιλεῦ, τύχην κακὴν ὁποῦ 'χες.
αὐθέντη, κράλη εὐγενικὲ, στολὴ τῶν ἀνδρειωμένων,
κακὰ θηριὰ ἐσύμωσαν συμὰ 's τὴν Οὐγκαρίαν.
ὦ Πιάγκω φρονιμώτατε, καὶ στήλη τῆς Βλαχίας,
ἐχάλασεν ἡ 'Ρωμανιὰ, ἐχάλασεν ἡ Δύσις,
ἐπέσασι τὰ φλάμπουρα τοῦ βασιλεῶς τῆς πόλης.
θεέ μου, πῶς ἀπέμεινες τὴν τόσην ἀνομίαν;
ὦ 'Αλαμάνια καὶ Οὐγκριὰ, Βλαχία καὶ Σερβία,
ἐδᾶ σᾶς κάμνει χρειὰ πολλὴ κατὰ Τούρκων νὰ πᾶτε—
μετὰ μεγάλης στρατιᾶς, μετὰ πολλῆς ἰσχύος,
νὰ πολεμήσετε καλῶς κι οὕτως νὰ δοξασθῆτε,
νὰ δοξασθῆτε περισσὰ, ὅταν ἡ ὥρα σώσῃ,
καὶ δώσῃ σᾶς την ὁ θεὸς ὁ μέγας τροπαιοῦχος,
καὶ ὅλοι ν' αὐθεντεύσετε μὲ τιμημένου τρόπου,
εἰς δόξαν τοῦ παντάνακτος θεοῦ τοῦ παντεργάτου.

Appeal to the Pope.

'Η κορυφὴ τῆς ἐκκλησιᾶς τῆς 'Ρώμης τῆς ἁγίας,
ὦ πάπα ἁγιώτατε, τῆς πίστεως ὁ στῦλος,
φέγγος, φωστὴρ τῶν Χριστιανῶν, καὶ κορυφὴ τῆς 'Ρώμης,
ποῖσε νὰ ὁμονοιάσουσιν οἱ Χριστιανοὶ τοῦ κόσμου,
ὅλοι αὐθέναις τῆς Φραγκιᾶς νὰ κάμνουσιν ἀγάπην,
ὁμόνοιαν ἀληθινὴν, ὡς ὁ θεὸς τὸ θέλει,
καὶ νὰ σηκώσουν τὸν σταυρὸν, ἐσὺ πρῶτος κ' ἐκεῖνοι,
τὰ ἔθνη νὰ ἐβγάλλετε ἀπὸ τὰ γονικά σας,
νὰ τοὺς ἐξολοθρεύσετε ἀπὸ τὸ πρόσωπόν σας,

511. Duc. p. 751.—512. ἦν Ell.—519. Kor. p. 56.—520. Kor. p. 56.—529. 's τὴν τόσην Ell.

κι ὁρισμὸς ἔνι τοῦ θεοῦ, παναγιώτατε πάπα,
θέλεις νικήσειν μὲ τὸν θεὸν ὅλους τοὺς ἀντιδίκους.
Φρατζέζοι, Ἀγκλέζοι εὐγενικοί, ἐλᾶτε εἰς τὴν Ῥώμην,
καὶ Βενετζιάνοι φρόνιμοι εἰς βουλὴν καὶ εἰς ἔργον,
ἐλᾶτ' ὁμοῦ, μονοιάσετε καὶ μὲ τὴν συμβουλήν σας,
μὲ τὸ καλόν σας ῥιζικὸν καὶ μὲ τὰ κάτεργά σας.
Πορτουγαλέζοι, δράμετε, κι ἐσεῖς οἱ Φράγκοι ὅλοι,
Σπανία μὲ τὴν δύναμιν ἣν ἔχει καὶ βοήθειαν·
Ταλιάνοι ἀνδρικώτατοι καὶ τῆς φρονήσης πρῶτοι,
καὶ Γενοβέσοι ἐκλεκτοὶ ὁποῦ σᾶς κόπτει πλέον,
ὅπως νὰ ξαναπάρετε σπήτια σας τὰ χαϊμένα·
συντόμως ὁμοθυμαδὸν ἀμέτε καταπάνω
τοῦ Τούρκου μέγα Μαχουμὲτ καὶ τοῦ ἀσεβεστάτου,
ὁποῦ 'μπεν καὶ κεφάλωσεν 's τῶν Ῥωμαίων τὴν χώραν.
μὴν σᾶς ἰδῇ, νὰ ξεσπασθῇ, νὰ φοβηθῇ, νὰ σκάσῃ,
νὰ χέσῃ τὸ συκῶτι του καὶ ὅλην τὴν οὐσιάν του,
νὰ χάσῃ τὴν ἀλωπεκῆν καὶ τὴν 'ψηλοφροσύνην,
καὶ νὰ τὸν ἐνικήσετε, νὰ πάρετε τὴν πόλιν.
παρακαλῶ σας, βασιλεῖς, αὐθένταις καὶ ῥηγάδες,
καὶ τὰ κουμούνια τῆς Φραγκιᾶς, σοφοὶ καὶ διδασκάλοι,
μὴ μὲ κατηγορήσετε εἰς τά 'γραψα καὶ εἶπα.
περάσετέ μ' ὡς ἄγνωστον ὁμάδιν μὲ τὸν νοῦν μου,
καὶ ψέξετε τὸν λογισμὸν ἐμοῦ δὲ καὶ τὴν γλῶσσαν,
τὴν ποιὰν δὲν ἐδυνήθηκα νὰ τὴν ἀποκρατήσω.
ἀμμὴ ἐνθυμούμουν τίποτε μικρὸν διὰ νὰ γράψω,
κι ὁ λογισμὸς ἀνέβαζε νὰ γράψω τέτοιαις λέξεις,
καὶ νὰ μοῦ λέγει· "γράψε τας διὰ νὰ ταῖς ἀγροικήσουν
ὅλοι αὐθένταις τῆς Φραγκιᾶς καὶ θέλουν συμπονέσειν."
καὶ διὰ τοῦτο ἔποικα καὶ ἔγραψα ἃ εἶπεν.
τοῦτο καὶ μόνον λέγω σας, πλέον νὰ μὴ ἀργῆτε,
τοὺς Τούρκους πολεμήσετε, τοὺς Χριστιανοὺς ἀφῆτε·
ὅτι ἐβαρέθην ὁ θεὸς τῶν Χριστιανῶν ταῖς μάχαις,
ἐβρόμησαν εἰς τὸν θεὸν μάχαις τῶν ὁμοφύλων.
δὲν βλέπετε τοὺς ἀσεβεῖς τὸ πῶς εὐημεροῦσιν,
κ' οἱ Χριστιανοὶ μὲ Χριστιανοὺς πάντα νὰ πολεμοῦσιν;

The poet asks for indulgence as to his expressions, his mind prompting him to speak as he has done.

556. Kor. p. 202.—557. Duc. p. 1061.—558. ὁμοθυμαδῶν Ell.—558–61. Kor. p. 190.—565, 6. Duc. p. 731.—568. Kor. p. 295.—569, 70. Kor. p. 307.—579. Duc. p. 231.

θεὸς ὁ παντοδύναμος χρεία νὰ μᾶς βοηθήσῃ,
νὰ καταβάλῃ τοὺς ἐχθροὺς, νὰ τοὺς καταποντίσῃ·
κ' εἰς ὅσον γράφω νὰ γενῇ, καὶ νὰ χαρῇ ὁ κόσμος.
Ὦ Κωνσταντῖνε βασιλεῦ, τύχην κακὴν ὁποῦ 'χες.
θεὸς νὰ δώσῃ προθυμιὰν τῶν αὐθεντῶν τῆς Δύσης,
νὰ πᾶσι εἰς ἐκδίκησιν τῆς ὀρθοδόξου πίστης.
ὦ Βλαχία πολύθλιβη, Σερβία πονεμένη,
θυμεῖσθε ταῖς αἰχμαλωσιαῖς, Οὐγκρία λυπημένη,
τῶν μαγκουριῶν τὰ δέματα, θλιμμένοι, πονεμένοι.
πάλιν δὲ ἐνθυμίζω σας, αὐθένταις, μὴ σταθῆτε,
τό 'χετε διὰ νὰ ποίσετε, μηδὲν τὸ ἀμελεῖτε,
τὰ ἔθνη διὰ νὰ 'βγάλλετε μὲ-τὴν καρδιάν σας ὅλοι,
μὲ πόθον καὶ συγκρότησιν πάντες νὰ συναχθῆτε,
νὰ 'βγάλλετε τοὺς ἀσεβεῖς ἀπὸ τὰ γονικά σας,
νὰ πάρετε τοὺς τόπους σας καὶ νὰ χαρῇ ἡ καρδιά σας,
καὶ μὴ συγκατεβῇ κανεὶς νὰ τοῦ ζητήσῃ ἀγάπην,
τὸν Τοῦρκον τὸν ἀγριόσκυλον, τ' ἀνήμερον θηρίον.
καὶ θέλω νὰ γινώσκετε, ὅτι μὲ τὴν ἀγάπην
ἐῤῥούφισε τοὺς Χριστιανοὺς ὡς δράκος πεινασμένος,
ἐγίνηκεν 'Αντίχριστος, τὸν κόσμον σακτανίζει,
τὸ γένος τὸ 'Ρωμαικὸν ἐκαταδούλωσέν το,
καὶ πρὸς τὰ μέρη τῆς Φραγκιᾶς, βλέπω, ἀναχεντρίζει.
ὦ κορυφὴ τῆς ἐκκλησιᾶς, παναγιώτατε πάπα,
τῆς πίστης τὸ στερέωμα, τῶν Χριστιανῶν ἡ δόξα,
'ς τὴν ἁγιωσύνην σου κρεμᾶτ' ὅλ' ἡ Χριστιανοσύνη.
νὰ τοὺς ἐφέρῃς εἰς καλὸν ἐκ τὴν διατανοσύνην,
μὲ τὸ γλυκὺ, μὲ τὄμορφον, μὲ τοῦ θεοῦ τὸν φόβον,
καὶ νὰ σηκώσῃς τὸν σταυρὸν μὲ φόβον καὶ μὲ τρόμον,
μὲ τόλμην τὸν ἀγριόπιστον νὰ 'βγάλλετ' ἐκ τὸ σπήτι,
ἐκ τὴν Κωνσταντινούπολιν, τὴν νέαν 'Ρώμην λέγω.
ἀπὴν ἡ πόλις ἐχάθηκεν, ὁ κόσμος ἂς προσέχῃ,
καὶ λέγω, ἂς προσέχετε, ὡς ἡ βροντὴ τὰ νέφη.
ἡ πόλις ἦτον τὸ σπαθὶ, ἡ πόλις τὸ κοντάρι,
ἡ πόλις ἦτον τὸ κλειδὶ τῆς 'Ρωμανίας ὅλης,
κ' ἐκλείδονε κ' ἐσφάλιζεν ὅλην τὴν 'Ρωμανίαν,
κι ὅλον τὸ 'Αρχιπέλαγος ἐσφικτοκλείδονέν το.

588, 9, 90. Kor. p. 228; Duc. p. 848.—600, 1, 2, 3. Kor. p. 322.—601. Duc. p. 1326.—617. Duc. p. 127.

γίνωσκε, ἁγιώτατε καὶ κορυφὴ τῆς Ῥώμης,
ὁ ποταμὸς ὁ πυρινὸς ἐσέβην εἰς τὴν πόλιν,
τὴν Δύσιν περιπλέκεται μὲ παρακλάδια ἕξη·
τὸ πρῶτον σώνει 'ς τὴν Σερβιὰν, δεύτερον 'ς τὴν Βλαχίαν,
τὸ τρίτον ἐκοντόσωσε συμὰ 'ς τὴν Οὐγκαρίαν,
τὸ τέταρτον ἐφλόγισεν ὅλην τὴν Βουλγαρίαν,
τὸ πέμπτον τὸ φοβοῦμαί το μὴ δράμῃ παραμέσα
καὶ σμίξῃ μὲ τὰ τέσσαρα, διατ' εἶν' μαγαρισμένον,
θέλει γενῆν ἀπέραντον ποτάμι αἱματωμένον·
τὸ ἕκτον τὸ ἐξάναψεν τῆς πόλης τὰ θεμέλια,
ἐξάναψεν ἡ φλόγα των καὶ τρέχει φοβισμένα
νὰ κάψῃ τὰ περίγυρα, πᾶν κάστρον, πᾶσαν χώραν.
ἀφ' ὥρας βάλλε τὴν βουλὴν, μὲ τὴν καλὴν τὴν ὥραν,
κόπιασε μὲ τὰ γόνατα, μὲ τ' ἅγιον τὸ κορμί σου,
καὶ τὴν βουλήν σου μάζωξε, σάλευσε ῥιζικόν σου,
ἅγιε καὶ πανάγιε καὶ κορυφὴ τῆς Ῥώμης·
ποῖσε τὸ φλάμπουρον χρυσὸν, τὰς κλεῖς τοῦ ἁγίου Πέτρου,
καὶ σώρευσε μετὰ θεὸν τῆς Δύσης τοὺς αὐθέντας,
νὰ πᾶτε εἰς ἐκδίκησιν τῆς Κωνσταντινουπόλης.
αὐθέντης ἕνι δυνατὸς ὁ Τοῦρκος, ξεύρετέ το, — The great power of the Turks,
Δύσιν τε καὶ 'Ανατολὴν ὁρίζει, πιστωθῆτε,
'ς τὴν Δύσιν ἔχει ἀληθινὰ ὅλην τὴν δύναμίν του,
πάντα τὴν Δύσιν θεωρεῖ, διατὶ ἔχει αὐτοῦ τὸν φόβον.
λοιπὸν μηδὲ ν' ἀφήσετε τὸν Τοῦρκον νὰ ῥιζώσῃ
εἰς τὴν Κωνσταντινούπολιν, ὅτ' εἶναι φόβος μέγας,
τὸ ὁποῖον ποῦ ἠξεύρετε κι οὐδὲν τὸ ἀναφέρνω.
αὐτὸ τὸ σπήτι τ' ἄπειρον, ἡ Κωνσταντίνου πόλις, — and the riches of Constantinople.
δὲν ἕνι σὰν τὰ πρόλοιπα ὁποῦ ὁρίζει ὁ Τοῦρκος,
ἀμμὴ ἕνι τέτοιον φοβερὸν ὅτι καλὰ γροικᾶτε·
χρυσάφιν ἔχει ἀρίθμητον, ἀνθρώπους ὅσους θέλει,
Φράγκους, Κουμάνους, Τζερκασοῦς, Βλάχους καὶ 'Αλαμάνους,
τεχνίταις ὅλοι θαυμαστοὶ τέχνης ἁπάσης φύσης·
τὴν ῥόγαν δίδει σὰν τυφλὸς εἰς τοὺς καλοὺς μαστόρους,
τὰ στάμενα οὐδὲν ψηφᾷ εἰς τοὺς ἀνδρειωμένους·
ποσῶς οὐκ ἔχει λογισμὸν εἰς τὴν φιλαργυρίαν·

620, 21, 22. Kor. p. 341.—624. Ell. keeps the nonsensical reading of the MS., *το φοβούμετο μὴ δρ. !*—626. Kor. p. 55.—631. Kor. p. 197.—637, 8. Kor. p. 275.—641, 2, 3. Kor. p. 45.—650, 1. Duc. p. 845; Kor. p. 333.

σκορπίζει, σπέρνει τα 'ς τὴν γῆν, ῥογεύγει τα παντόθεν,
ῥόγαις δίδει παράξεναις, δόξαις, τιμαῖς, τιμάρια,
καὶ καθ' ἡμέρα δίδει τα, λαμβάνουσι ταῖς ῥόγαις,
Christians are in the pay of the Turks.
καὶ τρέχουσιν οἱ Χριστιανοὶ μόνον διὰ ταῖς ῥόγαις,
καὶ δι' αὐτὸ εὑρίσκεται πάντα κεφαλαιωμένος.
τὸ χρήζει, εὐθὺς τὸ πολεμᾷ δίχως τινὸς ἐμπόδου,
καὶ τοῦτο ὅλον γίνεται διὰ τὴν τυφλὴν τὴν ῥόγαν,
ὁποῦ ῥογεύγει ἀμηρᾶς ὁδηγοὺς καὶ προδότας,
καὶ διὰ τοὺς κακοὺς κακὸν ἦλθεν κ' ηὗρεν τὴν πόλιν,
διὰ κακοὺς Χριστιανοὺς ἐχάθη τέτοια χώρα.
αἱ ἁμαρτιαῖς μας αἱ πολλαῖς τὸ 'προξενῆσαν τοῦτο,
καὶ διὰ τὰ κρίματά των τὴν ἐπήρασιν οἱ Τοῦρκοι.
αἱ τέχναις τῶν Χριστιανῶν καὶ τὰ καμώματά των,
αἱ δημηγερσιαῖς, διαβολιαῖς κι αἱ ἄλλαι πονηρίαις.
τὸν ποταμὸν τὸν πυρινὸν ἔβαλον εἰς τὴν πόλιν,
τὴν πόλιν τὴν ἐξάκουστον, καὶ ἐπυρπόλησέν την,
καὶ ἔκαυσε κ' ἐμπύρισεν Χριστιανοὺς Ῥωμαίους.
τὰ ἔργα τῶν Χριστιανῶν καὶ αἱ κεναῖς ἐλπίδες
ἐκείναις ἐχαλάσασιν τὴν βασιλειὰν Ῥωμαίων,
ἀμμὴ οἱ Τοῦρκοι οὐ δύνουνταν νὰ πάρουν τίτοιαν χώραν.
ὅμως γροικῶ, μαδεύγεται, θέλει ἡ ψυχή μου νἄβγῃ
ἀπέσω ἀπὸ τὸ κοῦφός μου, ἀπὸ τὰ σωτικά μου,
καὶ δι' αὐτὸ συγκόπτω τα, θέλω νὰ 'πῶ ἄλλ' ὀλίγα.
Ὦ Κωνσταντῖνε βασιλεῦ, κακὸ ῥιζικὸν ὁποῦ 'χες.
πάλιν σᾶς λέγω, αὐθένταις μου, ῥηγάδες, μεγιστᾶνοι,
εἶπα καὶ πάλιν, λέγω το, πάλι ἐνθυμίζω σᾶς το,
ποσῶς μὴ τὸ ἐβγάλλετε ἀπὸ τὰ λογικά σας,
μὰ πάντοτε νὰ τό 'χετε μέσα εἰς τὴν καρδιάν σας,
τὴν πόλιν μὴ ἀφήσετε 'ς τῶν ἀσεβῶν τὰς χεῖρας.
ἐγρήγορα μὲ τὸ σπαθὶν, μετὰ θυμὸν νὰ πᾶτε,
καὶ νὰ τὸν πολεμήσετε καὶ πλέον μὴ ἀργεῖτε·
τὸν Τοῦρκον τὸν καταχανᾶν, αὐτὸν τὸν χονικιάρην,
ὥστε νὰ τὸν νικήσετε, νὰ μὴ ἀναπαυθῆτε,
καὶ νὰ τὸν ξεριζώσετε ἀπέσω ἀπὸ τὴν πόλιν·
εἰ δὲ ἂν τὸν ἀφήκετε νὰ περιανασάνῃ

653. Kor. p. 320.—654, 5. Duc. p. 1578; Kor. p. 190.—657, 8. Kor. p. 190.—663. μας Ed.; μου Ell.—670–75. Kor. p. 354.—670. Kor. p. 40.—681–85. Kor. p. 113.—687. Ell. has εἰδὲ ἂν τὸν ἀφίκετε.

νὰ κάμῃ ὀλιγοστὸν καιρὸν ἄχρι καὶ χρόνους δύο,
ὀμνέω σας εἰς τὸν θεὸν, κι ὅλοι πιστεύσατέ μοι,
ν' ἀγανακτήσετε πολλὰ ἐπάνω εἰς τὴν χρείαν.
καὶ διὰ τοῦτο ὁ θεὸς ἐχάρισέν σας γνῶσιν,
ἔχετε καὶ τὴν δύναμιν ὁμοίως τε καὶ πλοῦτον,
ἐτύχετε καὶ τὴν ἀνδρειὰν ἐκ τοῦ θεοῦ τὴν χάριν,
καὶ ἡ σοφία τοῦ θεοῦ εἰς τὴν Φραγκιὰν ἐδόθην·
οἱ Φράγκοι τὴν ἐπήρασιν εἰσὲ κληρονομιάν των,
κι ὁ θεὸς ὁ παντοδύναμος νά 'ναι 'ς τὴν συντροφιάν σας,
τὸ πνεῦμα τὸ πανάγιον ἐμπρὸς 'ς τὰ φωτικά σας,
ἰσχὺς εἰς τὰ μαχαίρια σας, ζῶσμα 'ς τὰ ἅρματά σας,
καὶ νά 'σθε πάντα καὶ ἀεὶ ἐπὶ τὴν βασιλειάν σας,
τὸ στέμμα, τὸ διάδημα νά 'ναι κ' εἰς τὰ παιδιά σας.
τοῦτο δὲ μόνον δέομαι, πάλιν παρακαλῶ σας,
ἂν γράφω τί παρὰ τὸ δεὸν, νὰ μὴ μοῦ βαρεθῆτε,
ὅταν τὸ ἀναγνώσετε, μὴ μὲ κατηγορεῖτε,
ἀμμ' ὅλον τὸ διαβάζετε ἀπ' ἄκραν ἕως ἄκραν.
θαῤῥῶ εἰς τὸν πανάγαθον, καλῶς νὰ τὸ ποθῆτε,
διατὶ ἔνι λόγοι θλιβεροὶ θρηνητικὰ γραμμένοι·
μὲ θρῆνον ἀνυπόμονον ἔνι περιπλεγμένοι.
θαυμάζομαι, ξενίζομαι, ἐκπλήττομαι μεγάλως,
πῶς ἐβαστᾶτο μοῦ ψυχὴ καὶ ἔγραφα τοὺς λόγους,
κι οὐδὲν ἐξεριζώθηκεν ἐκ τὸ ἐμὸν τὸ σῶμα.
γινώσκει το ὁ κύριος ὁ θεὸς ὁ καρδιογνώστης,
τὴν νύκταν ἐσηκόνουμου συχνῶς ἐκ τὸ κρεββάτι,
ἀναθυμῶντα τὸ κακὸν τῆς πόλης ἐθρηνούμην,
ἔτρεχαν καὶ τὰ δάκρυα μου, ὡς τρέχει τὸ ποτάμι,
κι ἐμάχετό μοι λογισμὸς νὰ γράφω τὰ συμβάντα,
τὰ ποῖα ἐσυνέβησαν τὴν ἄτυχον τὴν πόλιν,
καὶ ἐγερνόμην κ' ἔγραφα καὶ μετέπιπτον πάλιν·
καὶ πάλιν ἐσηκόνουμου κ' ἐγύρευα νὰ γράφω.
τοῦτο λέγω νὰ ἠξεύρετε, ἄρχοντες τοῦ πολέμου,
δὲν ἔχει τόσην δύναμιν ὁ Τοῦρκος σὰν τὸ λέγουν·
αὐτὴν τὴν Δύσιν ὁποῦ ἀκοῦς αὐτὸς καὶ αὐθεντεύει
ὁ ἀσεβὴς σκυλότουρκος, τῶν Χριστιανῶν ὁ διώκτης,
ὅλοι ἔνι Χριστιανοὶ ἀπ' ἄκραν ἕως ἄκραν.

May success attend the arms of the nations of the West!

The poet's mind is almost deranged by this great calamity. His readers should therefore be indulgent with him.

The Turks do not possess so great a power as is commonly believed.

689. ὀμνύω Ell.; ὀμναίω Kor. who quotes the whole line, p. 272.—692. Kor. p. 305.—706, 7. Kor. p. 116.—715, 16. Kor. p. 307.

ἡ ὅλη δύναμις αὐτοῦ ἔνεν ὁ κροτισμός του,
ὁ φόβος του ὁ ἄμετρος ἐκρότησε τὸν κόσμον,
διατὶ οὐδὲν πονεῖ ποσῶς τὸ Χριστιανικὸν αἷμα,
δι' ἕνα κουφοκάρυδον νὰ σφάξῃ μιὰν χιλιάδα.
διὰ τοῦτο ἐκροτίστηκεν ὁ κόσμος ὁποῦ ὁρίζει,
καὶ τρέμουν καὶ οἱ Χριστιανοὶ Ἀνατολῆς καὶ Δύσης.

The Greeks were not brave enough against the Turks.

ὦ θεέ, νὰ τό 'χαν πολεμᾶν καὶ οἱ Ῥωμαῖοι οὕτως,
καὶ νά 'χαν κάμειν αἵματα καὶ κρίσες τοῦ θανάτου,
ποτὲ νὰ μὴ ἐχάνασιν, λέγω, τὴν βασιλείαν.
ἀμμὲ αἱ κρίσες αἱ ἀχαμναῖς κ' αἱ ἐλεημοσύναις
ἔκαμάν τους ὀλόγυμνους κ' ἐξετραχηλισμένους.
καὶ τοῦτο ἔνεν ἀληθὲς, στοχάσου καὶ νὰ τό 'βρῃς,
καὶ οὐδὲν ἔνι ψέματα κι οὐδὲν ἔνι ὡς τὸ γράφω.
ἐδ' ἂς χαροῦσιν οἱ ἐχθροὶ ὁποῦ τοὺς ἐμισοῦσαν,
κ' οἱ φίλοι των ἂς θλίβουνται ὁποῦ τοὺς ἀγαποῦσαν.
ἡ ἁμαρτιά μου τό 'ποικεν εἰς ὅσον ἐσυνέβη.
ὦ Κωνσταντῖνε βασιλεῦ, κακὴν τύχην ὁποῦ 'χες·
τὸ ποῦ ἦτον ἡ γνῶσίς σου 'ς ἄλλην γνῶσιν νὰ πέσῃ;
Τώρα εἰς τὸ προκείμενον θέλω νὰ 'λθῶ τοῦ λόγου,
καὶ πλέον οὐδὲ δύναμαι νὰ γράφω λυπημένα
εἰς τόσην μου τὴν συμφορὰν κ' εἰς τὸ πολὺ κακόν μου.
καὶ στρέφομαι 'ς τὸν ἀσεβῆν, 'ς τὸν Τοῦρκον, τὸ θηρίον,
τὸν τύραννον τῶν Χριστιανῶν καὶ σφάκτην καὶ διώκτην.
φθένταις, ῥηγάδες, τὸ λοιπὸν ἀπὸ τοῦ νῦν σᾶς γράφω,
ν' ἀκούσετε, νὰ μάθετε τὴν δύναμιν τοῦ Τούρκου.

The extent and state of the Turkish power.

ἔχει 'ς τὴν 'Αδριανούπολιν ἡ Πόρτα του καὶ μόνον
δέκα χιλιάδες ἐκλεκτοὺς ἄνδρες νὰ πολεμήσουν,
ἔχει καὶ γιανιτζάριδες χιλιάδες δεκαπέντε,
Φραζῆδες Χριστιανοὺς κακοὺς τριάντα χιλιάδες,
τὸ δ' ἄλλον τὸ ἀπολειφθὲν, τὸ πρόλοιπον φωσάτον,
ἀπὸ τὴν 'Αδριανούπολιν 'ς τὸν γῦρόν της ἀπέσω
ἔχει κι αὐτοῦ ἀληθινὰ εἴκοσ πέντε χιλιάδες.
ἔχει καὶ 'ς τὴν Καλλίπολιν φωσάτον καβαλλάρους,
τρεῖς χιλιάδες ἐκλεκτοὺς ἄνδρες νὰ πολεμήσουν·
Νικόπολιν, Δεμότοιχον μὲ τὴν περιοχήν των,

724–9. Kor. p. 212.—727. Duc. Add. p. 113.—730–34. Kor. p. 148.—735. Kor. p. 123.—736. Duc. p. 1780 reads ψόματα; Ell. has ψεύματα.—749, 50. Duc. p. 1205.—751. Duc. p. 243.—753. Ell. has ἀποληφθὲν.

ἔχει φωσάτον ἀπ' αὐτοῦ ὡς δώδεκα χιλιάδες·
Σέρραις, Βεργία, Σκόπια, μὲ τὴν περιοχήν των,
ἔχει κι αὐτοῦ ἀληθινὰ χιλιάδες δεκαπέντε·
Ὠχρίδα μὲ τὴν Καστοριὰν καὶ μὲ τὴν Βουλγαρίαν
ἔχει κι αὐτοῦ εἰς μιὰν φωνὴν νὰ 'βγάλῃ ἑπτὰ χιλιάδες.
Αὐλαῖς καὶ Ῥαδοβίζιο, ὁ Γρεβενὸς καὶ Στῆγι,
ἔχει κι αὐτοῦ ἀληθινὰ ὡς τέσσαρες χιλιάδες.
Ἄρτα καὶ τὰ Γιάννινα μὲ τὴν περιοχήν των
ἐβγάλλουν ἄνδρες τε καλοὺς χιλίους τοῦ πολέμου·
Τρίκκαλα μὲ τὴν Λάρισσαν, Φέρσαλα καὶ Φανάρι,
Ζητοῦνι μὲ τὸ Δομοκὸ, Σάλωνα, Λεβαδία,
Ἑλλάδα, Πάτρα, Ἄγραφα, Βελούχι καὶ Πρωτόλιο,
ἐβγάλλουν αὖτ' ἀληθινὰ εἴκοσι πέντε χιλιάδες,
καὶ ἕνι τὸ περίγυρον τῆς χαμηλῆς Βλαχίας.
αὐτὴ ἕνι ἡ δύναμις, αὐθέντα μου, ῥηγάδες,
ὁποῦ ὁρίζει ὁ ἀμηρᾶς 'ς τὴν Δύσιν, ὡς προεῖπον.
ἔχει καὶ 'ς τὴν Ἀνατολὴν ἄνδρες ἐκλελεγμένους,
χιλιάδες ἑβδομήκοντα Τούρκους πολεμιστάδες,
καὶ διὰ τώρα τὸ ποσὸν γράφω σᾶς το, αὐθέντα μου,
καὶ αὐτὴ ἕνι ἡ δύναμις, ἡ ὁλότης τοῦ σκύλου,
ὁποῦ 'χει 'ς μέγα θέλημα καὶ εἰς τὸν ὁρισμόν του,
ὅταν ὁρίζῃ, ὅλοι εὐθὺς διὰ νὰ καβαλλικεύσουν,
εἰς ἕνα μῆναν σύντομα ὅλοι νὰ μαδευτοῦσιν
μέσα 'ς τὴν Ἀδριανούπολιν ἔμπροσθεν 'ς τὸν αὐθέντην,
νὰ ἕνι εἰς ὑποταγὴν, νὰ ποίσουν ὅ, τι ὁρίσῃ,
ὅλοι νὰ ἀποθάνουσι διὰ τὸν Μαχουμέτην,
καὶ διὰ τὸν αὐθέντην των ὅλοι ν' αἱματωθοῦσιν.

The religion and discipline of the Turks.

Ἐμάθετε τὴν δύναμιν, αὐθέντα μεγιστᾶνοι,
ἰδέτε τὴν ὑποταγὴν ὁποῦ 'χουσιν οἱ Τοῦρκοι,
ὁποῦ 'χουν εἰς τὴν πίστιν των καὶ εἰς τὸν ἀμηρᾶν των·
δι' ὑποταγὴν τὴν φοβερὰν θάνατον οὐ ψηφοῦσιν,
καὶ ἂν σκοτώσουν Χριστιανοὺς, ἁγιάζουσιν, ὡς λέγουν,
κι ἂν τοὺς σκοτώσουν, πάλιν δὲ εὑρίσκονται ν' ἁγιάζουν,
κι οὐδὲν ψηφοῦν τὸν θάνατον, μὰ τρέχουν ν' ἀποθάνουν.
βλέπετέ τους τοὺς ἀσεβεῖς, τί δασκαλιὰν κρατοῦσιν·
ὁ Μαχουμὲτ ὁ διάβολος ἐκεῖνος τοὺς διδάσκει.

764. Στῆγι: cf. below, v. 975; Ell. has Στήπη.—781, 2. Duc. Add. p. 124.—789–91. Kor. p. 394.—789. διὰ ὑποταγὴν Ell.; διὰ τὴν ὑποτ. Kor.

λοιπὸν ἡμεῖς οἱ Χριστιανοὶ διὰ τοῦ Χριστοῦ τὸν νόμον
νὰ κάμωμεν τὰ λέγουν καὶ τ' ὁρίζουν οἱ πατέρες,
καὶ προσευχαῖς καὶ λιτανειαῖς, νηστείαις, ἀγρυπνίαις,
νὰ πᾶμεν μὲ ταπείνωσιν ζητῶντα τὸν Χριστόν μας,
τὴν ἄφεσιν ἁμαρτιῶν, ἔπειτα καὶ τὴν νίκην,
καὶ ὅλοι νὰ συγκλίνωμεν 's τὸν ἅγιον τὸν πάπαν,
ὡς εἶναι 's ὅλους κεφαλὴ χωρὶς ἀντιλογίας,
τινὰς ὀπίσω μὴ συρθῇ ἀπὸ τὸν ὁρισμόν του·
ἢ ἔν' ὅποιον ἐκλέξετε νὰ ἔνι ὡς κεφάλι,
καὶ μέλη πάλι οἱ ἕτεροι, ὡς ἕνα σῶμα ὅλοι·
νὰ δράμωμεν μετὰ χαρᾶς διὰ τὴν Χριστιανοσύνην,
ὁποῦ 'νεν ὑποκάτω του τοῦ ἀσεβῆ τοῦ σκύλου,
νὰ τοὺς ἐλευθερώσετε, ὡς Μωυσῆς Ἑβραίους,
κι αὐθέντας τους νὰ γίνεσθε εἰς τόπους τῶν Ῥωμαίων.
καὶ ὅταν τὸ 'ξορθώσετε καὶ ἐβγῆκεν ὁ σκύλος,
καὶ μετὰ ταῦτ' ἐλάβετε τὸ νῖκος καὶ τὰ σκῦλα,
νὰ θυμηθῆτε δὲ κἀμὲ ὁποῦ 'γραψα τοιαῦτα,
ὁποῦ 'ποικα τὸ ποίημα τῆς ταπεινῆς τῆς πόλης,
μὲ θρηνισμὸν καὶ δάκρυα ἔβαλα τὸ μελάνι,
καὶ μετ' ἀναστενάγματα ἐκράτουν τὸ κονδύλιν.
τοῦτο θαῤῥῶ το εἰς θεὸν νὰ μὴν ἐξεψυχήσω
καὶ οὐ μὴν ἴδω θάνατον ἕως οὗ ἴδω τὴν πόλιν
μὲ φλάμπουρα Χριστιανικὰ γύρου γύρου τριγύρου
κ' εἰς τὴν μεγάλην ἐκκλησιὰν τῆς Ῥώμης τὰ σημάδια.
καὶ τοῦτο εἶμαι θαῤῥετὸς μὲ τοῦ Χριστοῦ τὴν χάριν
νὰ 'βγάλλετε τοὺς ἀσεβεῖς, νὰ παύσουν μᾶς οἱ πόνοι.
ὦ βασιλεῦ, καὶ νά 'χες ζῆν καὶ μὴ εἶχες ἀποθάνειν·
ποῦ εἶν' οἱ ἄρχοντες αὐτοὶ τοῦ παλατιοῦ τῆς πόλης,
καὶ ποῦ ὁ αὐτοκράτορας βασιλεὺς τῶν Ῥωμαίων;
ὦ Κωνσταντῖνε βασιλεῦ, Δράγαζη τὸ 'πινόμιν,
εἰπέ μου, ποῦ εὑρίσκεσαι; ἐχάθης; ἐκρυβήθης;
ζῆσαι; ἢ καὶ ἀπέθανες ἐπάνω 's τὸ σπαθί σου;
ὅτι ὁ σκύλος, ὁ ἀμηρᾶς, ὁ Μαχουμὲτ, ὁ κράτωρ,
ὁποῦ αὐθέντευσε λοιπὸν τὴν ἄτυχον τὴν πόλιν,
πολλὰ γὰρ ἐψηλάφησε τὰ κομμένα κεφάλια,

The Christians may learn a lesson from the Turks how to obey a leader.

The poet hopes to live and see the day of liberty dawning upon the Christians of the East.

803. ἕνα Ell.—809. ἐξορθώσετε Ell.—810. ταῦτα Ell.—814. Duc. p. 703; κονδύλι Ell.; κονδήλην Duc.—816. Duc. p. 1358.—819. Kor. p. 147.—820. πολλῶν instead of μᾶς Ell. But this spoils the metre.—821. Kor. p. 246; μῆχες Ell.—824. Kor. p. 300; 'πινόμι Ell.; πυνόμην Kor.

καὶ τὰ κορμιὰ ἐδιέγερνεν (λέγω) τὰ κεκομμένα,
τὸ γύρευεν, οὐδέν ηὗρε· οὐκ οἶδα τίς ἡ χρεία·
νεκρὸν σῶμα, λέγω, τὸ σὸν τί τό 'θελεν ὁ σκύλος,
ἢ τὴν τιμίαν κεφαλήν, φθέντα, τὴν ἰδικήν σου.
Τριὰ πράγματα ἐχάλασιν τὴν Ῥωμανίαν ὅλην·
ὁ φθόνος, ἡ φιλαργυριὰ, καὶ ἡ κενὴ ἐλπίδα.
καὶ τοῦτο ἕνι ἀληθινὸν, κανεὶς μὴ τὸ ἀπιστήσῃ.
Τὸ ποίημα, ὁποῦ 'γραψα, ὅλοι νὰ τὸ ποθεῖτε
καὶ νὰ τὸ μεταγράφετε, πολλὰ νὰ τ' ἀγαπᾶτε,
κι ὅσοι τὸ μεταγράφετε, νὰ γράφετε ὡς εἶναι·
μὴ 'βγάλλετε, μὴ βάλλετ' ἀπ' ἐκεῖνον τὸ ἐγράφη.
κι ὁποῦ τὸ κάμει, ἂς βλέπῃ το τὸ κρίμα μὴ κερδήσῃ,
ὅτι καὶ κόπον ἔβαλα ἐγὼ νὰ τὸ συνθέσω.
διὰ τοῦτο σᾶς παρακαλῶ νὰ γράφετε σὰν εἶναι,
καὶ πλέον νὰ μὴ γράψετε διὰ τὴν ἁμαρτίαν.
Ἂς ἔλθῃ εἰς τελείωσιν τοῦ πονεμένου λόγου·
τὸν Τοῦρκον ἂν ἀφήκετε τὴν πόλιν νὰ κρατήσῃ,
θέλει γὰρ πάλιν τὸ θηριὸν καὶ θέλει δυναμώσει,
καὶ θέλει καταπιεῖ πολλοὺς ὁ σκύλος ὡσὰν δράκος.
λοιπὸν, πανυψηλότατοι αὐθέντα μου, ῥηγάδες,
ἀγάπην ὅλοι κάμετε νὰ πᾶτε 's τοὺς ἐχθρούς σας,
ἀγάπην θέλει ὁ θεὸς κι ὁποῦ ἀγάπην ἔχει,
ἕνα δεσμὸν μὲ τὸν θεὸν γίνεται, οὕτως πέλει,
καὶ ὁ θεὸς τὸν βοηθᾷ 's πᾶσαν δουλειὰν καὶ χρῆσιν.
πάπαν τὸν ἁγιώτατον νά 'νεν εἰς τὸ πλευρόν σας,
καὶ τὸν σταυρὸν σηκώσετε σημάδι 's τ' ἅρματά σας,
νά 'νεν ἐμπρὸς κι ὀπίσω σας βοήθεια 's τὰ κορμιά σας.
νὰ 'βγάλλετε τοὺς ἀσεβεῖς ἀπὸ τὰ γονικά σας,
μέσα ἀπὸ τὰ σπήτια σας κι ἀπὸ τὰ σωτικά σας,
νὰ χαίρεσθε, ν' ἀγάλλεσθε μέσα 's τὰ ἰδικά σας.
καὶ ν' ἀπολησμονήσετε ταῖς θλίψεις καὶ ταῖς μάχαις,
καὶ νὰ γενῇ ἀνάκλησις τοῖς Χριστιανοῖς τῆς Δύσης,
καὶ νὰ δοξάζεται Χριστὸς, ὁ βασιλεὺς τῆς δόξης,
κ' οἱ ἀσεβεῖς νὰ σφάζουνται καὶ νά 'χουν πόνον μέγαν,
παντάπαν νὰ ξεριζωθοῦν ἀπὸ τὴν Ῥωμανίαν,
μοῖραν νὰ κόψῃ τὸ σπαθὶ, μοῖραν νὰ διωχθοῦσιν,
νὰ πᾶσιν ἀπεκεῖ ποῦ ἦλθαν ἕως Μονοδενδρίου,
καθὰ καὶ τὸ μελλούμενον οὕτως μέλλει νὰ πάθουν.

The three causes of the destruction of the Byzantine Empire.

The readers are requested to contribute to the circulation of the poem by copying it.

Repeated exhortation to peace and concord among the Christian princes, and combined war against the Turks.

Especial appeal to the Venetians.

Ἂς ἔλθω εἰς τελείωσιν τὸν λόγον νὰ πληρώσω,
μὴ ξεψυχήσω ἀποδᾶ πριχοῦ τὸ ξεπληρώσω.
καὶ πρὸς αὐτοὺς τοὺς φρόνιμους λέγω τοὺς Βενετζιάνους,
ὀλίγα λόγια καὶ καλὰ θέλω δι' αὐτοὺς νὰ εἴπω.
ὦ Βενετία φουμιστὴ, μυριοχαριτωμένη,
τὴν αὐθεντιάν σου τὴν καλὴν ὁ θεὸς νὰ τὴν στερεώσῃ,
καὶ τοὺς ἐχθρούς σου 's τὸν λαιμὸν τὸν πόδα σου νὰ θέτῃς.
ὦ Βενετζιάνοι φρόνιμοι, πρακταῖοι κι ἐπιδέξιοι,
ἦλθε καιρὸς, ἐσύμωσε, νὰ δείξετε τὴν γνῶσιν,
ἣν ἔχετε ἐκ φύσεως, ὁποῦ θεὸς σᾶς ἔδωκεν,
ἦλθε καιρὸς, ἂν βούλεσθε νὰ δείξετε τὴν γνῶσιν
καὶ τὸ τολμηροκάρδιον καὶ τὴν χρυσὴν τὴν βρύσιν
νὰ τρέξῃ, νὰ ποτίζετε στρατιώταις ἀνδρειωμένους,
νὰ δώσετε, νὰ πάρετε κεφαλαιωμένον τόπον
μὲ τὸ σπαθὶ, μὲ τ' ἄρματα καὶ μὲ τὴν φρονιμάδαν,
καὶ κόσμον νὰ κερδήσετε, πολλὰ ν' ἀναπαυθῆτε
μὲ τὴν χαρὰν, μὲ τὴν τιμὴν, μετὰ μεγάλης δόξης,
καὶ νὰ κοιμᾶσθ' ἀμέριμνα, τινὰν νὰ μὴ φοβεῖσθε,
ταῖς μάχαις τοῦ σκυλότουρκου νὰ ταῖς ἐλυτρωθῆτε,
καὶ νά 'χετε εὐχαριστιαῖς ἀπὸ τὸν κόσμον ὅλον,
καὶ ἄφεσιν ἁμαρτιῶν, συγχώριον ἀπ' τὸν κύριον.
καὶ τοῦτο ἕνι ἀληθὲς, καὶ ἂν ἐσεῖς αὐθένταις
μὲ προθυμίαν δυνατὴν καὶ νά 'χετε ἀγάπην,
ἐμβῆτε εἰς τὸν πόλεμον μ' ὅλην τὴν καλὴ 'Ιτάλιαν,
τὸν Τοῦρκον ξεριζόνετε σύῤῥιζον ἐκ τὴν Δύσιν·
μόνον νὰ βάλλετε βουλὴν καλὴν, νὰ βουλευθῆτε.
θαῤῥῶ εἰς τὸν πανάγαθον, ἀποτυχιὰν νὰ μὴ ἔνι,
νὰ 'βγάλλετε τοὺς ἀσεβεῖς ἀπέσω ἀπὸ τὴν πόλιν.
ὅλον κρέμεται εἰς ἐσᾶς, παντοῦ νὰ πᾷ ἡ βουλή σας,
καὶ νὰ τὴν συναποίσετε εἰς ὅλην Χριστιανότην·
ἡ συμβουλή σας ἡ καλὴ καὶ ἡ συγκρότησίς σας
νὰ κάμῃ πλάταις καὶ πτερὰ εἰς ὅλους τοὺς αὐθέντας,
καὶ νὰ παρακινήσετε στρατάρχας καὶ κρατάρχας,
κι ὁμοφωνίαν, ὁμονοιὰν νὰ ἔχουσιν οἱ πάντες.
ὁ Τοῦρκος πάντα ἔξυπνος ἔνι καὶ οὐ κοιμᾶται,
πάντα πεινᾷ, πάντα διψᾷ, ποτὲ οὐδὲν χορταίνει
νὰ τρώγῃ σάρκες Χριστιανῶν καὶ νὰ ῥουφᾷ καὶ τ' αἷμα,

On the initiative taken by them depends the success of a campaign against the Turks.

870, 1. Kor. p. 221.—872, 3. Kor. p. 334.

κ' οἱ Χριστιανοὶ νὰ μάχουνται, ὁ ῥῆγας μὲ τὸν ῥῆγαν.
καὶ τί ἔνι τούτη ἡ ὀργὴ καὶ τοῦ θεοῦ κατάρα,
νὰ τοὺς θωροῦν οἱ ἀσεβεῖς, νὰ ὑβρίζουν, νὰ γελοῦσιν;
ὦ Κωνσταντῖνε βασιλεῦ, κακὸν ῥιζικὸν ὁποῦ 'χες.
ἀπὴν ἡ πόλη ἐχάθηκεν, ὁ κόσμος ἂς προσέχῃ.
ὦ Βενετζιάνοι πονηροί, μὲ τὴν πολλήν σας γνῶσιν,
βλέπω, ὁ θεὸς σᾶς βοηθᾷ μὲ τὴν δεξιάν του χεῖρα,
ὅτι κλεψιαῖς δὲν θέλετε, ἁρπαγαῖς, ἀδικίαις,
ἀγάπην πάντα θέλετε μὲ ἐχθροὺς καὶ μὲ φίλους,
ἀμάχη δὲ μὲ τοὺς ἐχθροὺς καὶ μὲ τοὺς ἀλλοφύλους.
πιάστε τὸ δυναμώτερον, βλέπετε τὸ θηρίον,
τὸ ἄγριον κι ἀνήμερον, τὸν σκύλον τὸν λυσσιάρην,
τὸν λύκον τὸν ἀχόρταγον ἐξεσπηλαιώσετέ τον·
τότε νὰ κεφαλαιώσετε καὶ νὰ ἀναπαυθῆτε,
καὶ νὰ δοξάσετε θεὸν καὶ τὴν ἁγιὰν τριάδα.
ὁ μέγας παντοκράτορας νὰ σᾶς ἐδιορθώσῃ
καὶ μέσον σᾶς εἰς τὴν βουλὴν νὰ ἔνεν διὰ πάντα.
τοῦτο τὸ γράφω νὰ γενῇ, Χριστέ μου, ἐπάκουσόν μου.
Αὐθένταις, μὴ ἀργήσετε, ὅλοι σας σηκωθῆτε,
τοὺς ἀσεβεῖς ἐβγάλλετε ἀπέσω ἀπὸ τὴν πόλιν,
ἀμμὴ νὰ συγκροτήσετε κι ἐσεῖς νὰ ἦσθε πρῶτοι,
νὰ ποίσετε νὰ σώσετε εἰς ὅλους τοὺς ῥηγάδες,
καὶ νὰ τοὺς ἀναγκάσετε ὅλοι νὰ 'λθοῦν εἰς ἕνα.
τίνας οὐκ ἐσαλεύεται ἀπ' ὅλους τοὺς αὐθέντας;
διατὶ ἔχετε 's τὴν θάλασσαν τριήρεις καὶ καράβια,
καὶ μέσον δύο τετοιῶν, τῆς γῆς καὶ τῆς θαλάσσης,
δύνεσθε εἰς τὸ γίνεσθαι νικηταὶ τοῦ τυράννου.
ὅμως παρακαλῶ σᾶς το, ἀπὸ σᾶς καὶ ἀφ' ὅλους
's τὸ νὰ μὲ συμπαθήσετε ἃ ἔγραψα καὶ εἶπον.
ὦ Κωνσταντῖνε Δράγαζη, κακὴν τύχην ὁποῦ 'χες.
Ἀφίνω τὴν διήγησιν καὶ θρηνισμὸν τῆς πόλης,
μὴ ξεψυχήσω πάραυτα πριχοῦ ἐξετελεύσω,
καὶ θέλω νὰ γινώσκετε τὰ ἤκουσα νὰ λέξω.
νὰ 'ποῦμεν διὰ τοὺς Χριστιανοὺς ὁποῦ 'νεν εἰς Τουρκίαν·
καθὼς ἐδιατάχθηκα, οὕτως τὰ ἀναγγέλλω,
νὰ ξεύρετε ἀληθινά, ὅτι 's τὴν Δύσιν ὅλην,

909. See above, v. 519.— 928. ἀπὸ Ell.—929. 's is not in the MS. nor in Ell.

The number of the Christians in the Turkish dominions.

ὁποῦ ὁρίζει ὁ ἀσεβὴς τῶν Χριστιανῶν ὁ διώκτης,
ἀγροίκησα πολλαῖς φοραῖς ἀπὸ τοὺς χαρατζάρους,
ὅτι ὁρίζει ὁ ἄπιστος Χριστιανοὺς ὀρθοδόξους
σπήτια μὲ ταῖς φαμηλιαῖς ἑπτακοσιαῖς χιλιάδες.
καὶ τοῦτο ἔνι φανερὸν μὲ πάσης ἀκριβείας,
ὡς οἶδα καὶ κατέμαθα ὑπὸ πιστῶν ἀνθρώπων.
λοιπὸν αὐτοὶ οἱ Χριστιανοὶ ἀκαρτεροῦν νὰ 'δοῦσιν
σημάδι μέγα φλάμπουρον, τὸν σταυρὸν τοῦ κυρίου,
καὶ τότε νὰ συγκλίνουσιν οἱ ἔσω μὲ τοὺς ἔξω,
νὰ γένῃ μοῦρτος μοχθηρὸς, ὡς οἱ πολλοὶ τὸ λέγουν.
μόνον νὰ 'δοῦσιν Χριστιανοὺς αὐθέντας εἰς τὸν κάμπον,
ὡς τὸ προεῖπα, μὲ σταυρὸν, μὲ τάξιν τοῦ πολέμου,
ὡσὰν τυχαίνει τάξις δὲ, καὶ μὲ πολλῆς ἰσχύος,
ὅλοι 'ς τὴν ὥραν προσκυνοῦν οἱ Χριστιανοὶ τῆς Δύσης.
ἂν θέλετε νὰ 'βγάλλετε τὸν Τοῦρκον ἀπ' τὴν Δύσιν,
τὸν πρῶτον τῶν Χριστιανῶν ποίσετε ἀρχηγόν σας,
καὶ νὰ ὁμοφωνήσουσιν αἱ γλῶσσαι τῶν Λατίνων.
τὸν πάπαν δὲ τὸν ἅγιον νὰ στήσετε κεφάλι,
καὶ τὸν σταυρὸν νὰ βάλλετε σημάδι 'ς τ' ἅρματά σας,
ἀγαπημένα σπλαγχνικὰ ὅλοι νά 'σθε τὸ ἕνα·
ὁμόφωνοι, ὁμόψυχοι, ὁμόφυλοι οἱ πάντες,
τὴν Δύσιν ὅλην ἔχετε σὰν ζῶσμα ἰδικόν σας.
τοῦτο σᾶς λέγω ἀληθινὰ, πιστεύσατε τὸν λόγον,
ὅτι τοῦ νὰ περάσετε τὸν Ντούναβιν ἐδῶθεν,
τῆς Δύσης οἱ Χριστιανοὶ εἰς μιὰν νὰ προσκυνήσουν.
τοῦτο σᾶς λέγω, αὐθένταις μου, ἀλλοῦ μὴ πέσῃ ὁ νοῦς σας,
τὸ πέραμά σας νὰ γενῇ μέσον τοῦ μεταπώρου,
νά 'λθετε τὸν Νοέμβριον, περάσετε τὰ Σκόπια,
ἔχετε δὲ καὶ Καστοριὰν καὶ ὅλην τὴν 'Αχρίδα,
ἔχετε καὶ τὴν Βουλγαριὰν καὶ τὴν 'Αρβανιτίαν,
οἱ Βλάχοι οἱ ἀνδρικώτατοι μετὰ Μποσνίων κι ἄλλων.
ἡ Σαλονίκη πάραυτα ἔνι προσκυνουμένη,
αἱ Σέρραις, τὸ Δεμότοιχον, ἡ Βέργια καὶ τὰ Σέρβια,
τὸ νὰ ἰδοῦσι τὸν σταυρὸν, ὅλα σᾶς προσκυνοῦσιν·
τοῦ Στῆγι ὁ τόπος πάραυτα, ὁ Γρεβενὸς 'ς τὴν ὥραν,
νὰ προσκυνήσουν τὸν σταυρὸν χωρὶς τινὸς ἐμπόδου,

All these Christians will rise against their oppressors, as soon as an army crosses the Danube.

942, 3. Duc. p. 1732.—945. Kor. p. 240.—949, 50. Duc. Add. p. 136.—951. Kor. p. 397.—954. Kor. p. 397.—965. Kor. p. 397.—976. Kor. p. 120.

τὰ Τρίκκαλα μὲ τὴν Βλαχιὰν, Λάρισσος καὶ Φανάρι,
τὰ Φέρσαλα, ὁ Δομοκὸς, Ζητοῦνι, Λεβαδία,
τὸ νὰ ἰδοῦσι τὸν σταυρὸν, 's τὴν ὥραν προσκυνοῦσι·
'Ελλάδα, Πάτρα, Ἄγραφα, Βελούχη καὶ Πρωτόλιο,
'Αθῆνα, Θῆβα, Μέγαρα, Σάλωνα, τ' ἄλλα ὅλα·
Ἄρτα καὶ τὰ Γιάννινα, ὅλον τὸ Δεσποτάτον,
τὴν ὥραν ἔνι 's τὸν σταυρὸν τὰ χέρια των δεμένα.
ἠξεύρετε, αὐθένταις μου, ταῖς χώραις ὁποῦ εἶπα
ὅλαις ταις εἶδα, ἐπάτησα πεζὸς καὶ καβαλλάρης.
διὰ τοῦτο ταῖς ἐσύνθεσα μὲ θρῆνον διὰ στίχου,
διὰ τοῦτο καὶ ταῦτ' ἔγραψα καὶ ἀνεσκέπασά τα,
νὰ τὰ διαβάσῃ ὁποῦ 'χει νοῦν καὶ νὰ μετρᾷ τὰ πάντα.
βλέπετε, 's πόσον τρομασμὸν στέκει ἡ Χριστιανότης·
τοῦτο δὲ ἐνθυμίζω σας, αὐθένταις μεγιστᾶνοι,
ποσῶς μηδὲν θελήσετε νὰ ποίσετ' ἄλλον δρόμον,
διατὶ ἔνι ὅλοι Χριστιανοὶ ὁ κόσμος ὅπου γράφω,
ἔνι κ' οἱ τόποι θροφανοὶ ἀπὸ ζωὴν μεγάλην·
ποιῶντα θέλετ' εὑρεθῇ οὕτως κεφαλαιωμένοι.
ὦ Κωνσταντῖνε βασιλεῦ, κακὴν τύχην ὁποῦ 'χες.
'Ο θεὸς τὸ ξεύρει, αὐθένταις μου, δὲν τό 'χα εἰς τὸν νοῦν μου,
ἀμμὴ διὰ τὸ πολὺ κακὸν τῆς πόλης ἐκινήθην,
νὰ ποίσω τίποτας μικρὸν λόγον καὶ μυριολόγι,
νὰ τὸ διαβάζω, νὰ θρηνῶ, νὰ κλαίω, νὰ βρουχοῦμαι,
καὶ μὲ ὁ νοῦς ἐσέβασεν εἰς βυθισμὸν τοῦ λόγου,
ποτὲ οὐκ ἠδυνήθηκα νὰ τὸν ἐξανασπάσω,
ὡς ὅταν ἐτελείονα μιὰν λέξιν τε καὶ ἄλλην,
καὶ ἄλλαις ἀνηβαίνασιν εἰς τὸν ἐγκέφαλόν μου,
'ψηλαῖς πολλαῖς διάλεκτοι νὰ τρέχουν διὰ στίχου·
ὅμως εὐχαριστῶ τὸν θεὸν, τὸν ποιητὴν καὶ πλάστην,
ὅπου τὸν νοῦν μου ἔσωσεν νὰ γράψω τὰ τοιαῦτα.
λοιπὸν παρακαλῶ σᾶς το καὶ συμβουλεύω σᾶς το·
ὅλοι σας μεταγράψατε τὸ ποίημά μου τοῦτο
καὶ νὰ τὸ ἀποστείλετε εἰς τῆς Φραγκιᾶς τὰ μέρη,
εἰς χεῖράς τε τῶν αὐθεντῶν, ῥηγάδων, αὐθεντάδων·
